WAGENFELD : SANCHUNIATHONIS HISTORIARUM PHOENICIAE: LIBRI IX: 1837

SANCHUNIATHONIS

HISTORIARUM PHOENICIAE

LIBROS NOVEM

GRAECE VERSOS A PHILONE BYBLIO,

EDIDIT

LATINAQUE VERSIONE DONAVIT

F. WAGENFELD.

BREMAE MDCCCXXXVII.

EX OFFICINA CAROLI SCHÜNEMANNI.

Praefatio.

Anno superiore cum excerpta quædam edidissem ex commentariis, quos de rebus gestis Phœnicum vernacula lingua composuit Sanchuniatho, Philo Græce vertit, doctissimi quique viri, ut probarent, ex quo illa excerpsissem, verum et genuinum veteris illius scriptoris esse textum, et publice et privatim enisi sunt. Quam in rem præcipuam contulit operam **Grotefend**, vir clarissimus atque harum rerum imprimis peritus. Nam et ea, quæ me fugerant in tractandis locis difficilioribus, magna subtilitate est interpretatus et ea, quæ alicubi occurrunt hoc in opere primo aspectu fere incredibilia, testibus prolatis scriptoribus, quibus fides habeatur, dignissimis, a veritate minime discrepare, magna explicavit cum evidentia, atque ita denuo cum acuminis egregii, tum doctrinæ admirandæ edidit documentum. Quam ob caussam, quod postea, minimi momenti nisus argumentis, operis veritatem in dubium revocare ausus sit, non tam, quod adulterinum esse librum revera sibi persuasum habuerit, ab eo factum esse suspicor, quam, ut quendam quasi stimulum mihi admoveret operis quam celerrime edendi. Quod quidem fuit supervacaneum, cum ipse jam versarer in opere edendo.

Quæ editio si paullo longius producta esse videatur, typorum hoc adscribas Græcorum paucitati, quæ etiam, ne literæ Græcæ in parte plagulæ dimidia typis exscribenda deficerent, mihi necessitatem imposuit Latinæ versionis adjiciendæ.

Prodiit igitur Sanchuniatho ipse, judicium subiturus lectoris candidi, utrum temporum illorum remotissimorum sit proles, an sæculorum subditicius posterorum. Equidem, quæ in ejus defensionem plurima dixi, non repetam, ne oleum et operam perdidisse videar.

Ceterum noli de hujusmodi operibus judicare ex dicendi formularum discrepantia ab usu antiquioris temporis Græcorum, sed ex ipso ingenio scriptionis totiusque operis universa indole.

Bremae, MDCCCXXXVII.

F. Wagenfeld.

HISTORIARUM SANCHUNIATHONIS

LIBRI NOVEM.

ΦΙΛΩΝΟΣ ΠΡΟΟΙΜΙΟΝ.

Πρέπει μὲν ἑκάστῳ, τῶν προγεγενημένων εἰδέναι θαυμαστὰς πράξεις καὶ ἔργα, τῷ μὲν ἰδιώτῃ παρέχοντα ἑαυτοὺς ὑπὲρ τοῦ κοινοῦ καθιερευσάντων παραδείγματα πολλὰ καὶ μιμητέα, τοὺς δὲ τὰς πόλεις ἐπιτετραμμένους ἀποτρέποντα τῆς ὕβρέως, τὴν δίκην καταφρασαμένους, ὥς λέγει ὁ ποιητής, τῶν βασιλήων, οἳ λυγρὰ νοσοῦντες, ἄλλῃ παρακλίνουσι δίκας. Ἀδονιλίβνας οὖν, ὁ τῶν Βυβλίων βασιλεὺς, τὰ μὲν τῶν θεῶν καὶ τῶν ἀνθρώπων βουλόμενος μαθεῖν, ἐξευρὼν δὲ τὰ μὲν ἀνθρώπεια εἰδότας ὀλίγους, ἀδιάφθαρτα δὲ τὰ θεῖα ἐπιστάμενον οὐδένα, τὰς συγγραφὰς μετεπέμψατο παλαίας καὶ Σαγχουνιαθῶνα τὸν γραφέα πάντα ταῦτα ἐκέλευσεν ἐξερευνησάμενον ἀναγράψαι. Τούτων οὕτως ἐχόντων ὁ Σαγχουνιάθων, ἀνὴρ πολυμαθὴς καὶ πολυπράγμων γενόμενος καὶ τὰ ἐξ ἀρχῆς, ἀφ' οὗ τὰ πάντα συνέστη, παρὰ πάντων εἰδέναι ποθῶν, πολὺφροντισικῶς ἐμάστευε τὰ Τααύτου, εἰδὼς, ὅτι τῶν ὑφ' ἡλίῳ γεγονότων, πρῶτός ἐστι Τάαυτος ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινόησας, καὶ τῆς τῶν ὑπομνημάτων γραφῆς κατάρξας. Καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπίδα βαλλόμενος τοῦ λόγου, ὅν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωὺθ, Ἀλεξανδρεῖς δὲ Θὼθ, Ἑρμῆν δὲ Ἕλληνες μετέφρασαν.

PHILONIS PRÆFATIO.

Omnes decet homines majorum res gestas et mira facinora novisse, ut quæ et civibus multa præbeant vitam reipublicæ usui impendentium exempla, imitatione digna, et eos, quibus civitatum cura est demandata, modestos reddant, probantia, eos reges, qui, ut poëta dicit, pravi evertant sententias, semper pœnas dedisse. Quam ob caussam Adonilibnas, Bybliorum rex, quum res divinas atque humanas vellet cognoscere atque paucos solum inveniret humanarum rerum peritos, qui autem res divinas tradere potuisset incorruptas, neminem, antiqua jussit apportari scripta, quæ Sanchuniathoni scribæ mandavit perlegenda atque excerpenda. Quæ cum ita sese haberent, Sanchuniatho vir in primis eruditus, cum operam in rerum plurimarum studio posuisset, cumque gentium omnium historiam jam usque a prima universi molitione nosse vehementer optaret, magnam in pervestigandis Taauti libris adhibuit diligentiam, quod satis intelligeret, omnium, qui lucem hanc adspexerant, eum literas primum invenisse, auctoremque fuisse scribendorum commentariorum: Ab illo autem auspicatum esse, quem Aegyptii Thoyth, Alexandrini Thoth nominarunt, Græci Mercurium reddidere.

Ἀλλ' οἱ μὲν νεώτατοι τῶν ἱερολόγων, τὰ μὲν γεγονότα πράγματα ἐξ ἀρχῆς ἀπεπέμψαντο, ἀλληγορίας δὲ καὶ μύθους ἐπινοήσαντες καὶ τοῖς κοσμικοῖς παθήμασι συγγένειαν πλασάμενοι, μυστήρια κατέστησαν καὶ πολὺν αὐτοῖς ἐπῆγον τύφον, ὡς μὴ ῥᾳδίως τινὰ συνορᾶν τὰ κατ' ἀλήθειαν γενόμενα. ὁ δὲ συμβαλὼν τοῖς ἀπὸ τῶν ἀδύτων εὑρεθεῖσιν ἀποκρύφοις Ἀμμουνέων γράμμασι συγκειμένοις, ἃ δὴ οὐκ ἦν πᾶσι γνώριμα, τὴν μάθησιν τῶν πάντων αὐτὸς ἤσκησε. καὶ τέλος ἐπιθεὶς τῇ πραγματείᾳ, τὸν κατ' ἀρχὰς μῦθον καὶ τὰς ἀλληγρίας ἐκποδὼν ποιησάμενος, ἐξηνύσατο τὴν πρόθεσιν, ἕως πάλιν οἱ ἐπιγενόμενοι ἱερεῖς, χρόνοις ὕστερον ἠθέλησαν αὐτὴν ἀποκρύψαι καὶ εἰς τὸ μυθῶδες ἀποκαταστῆσαι· ἐξ οὗ τὸ μυστικὸν ἀνέκυπτεν οὐδέπω φθάσαν εἰς Ἕλληνας.

Ταῦθ' ἡμῖν εὕρηται ἐπιμελῶς εἰδέναι τὰ Φοινίκων ποθοῦσι, καὶ πολλὴν ἐξερευνησαμένοις ὕλην, οὐχὶ τὴν παρ' Ἕλλησι. διάφωνος γὰρ αὕτη καὶ φιλονεικότερον ὑπ' ἐνίων μᾶλλον, ἢ πρὸς ἀλήθειαν συντεθεῖσα. Οἱ μὲν γὰρ τὰ ἑαυτῶν προελόμενοι, τῶν βαρβάρων φανεροί εἰσι καταφρονοῦντες καὶ τὰ τῶν ἔξω ἐκ παντὸς τρόπου ἀποφαυλίζοντες, ἐξαιρέτως δὲ τοῖς ἐν ἀνατολαῖς λοιδορούμενοι. Οὕτως δὲ ἔχειν πεπεῖσθαι ἡμῖν παρέστη, ὡς ἐκεῖνος γέγραφε, τὴν διαφωνίαν ὁρῶσι τὴν παρ' Ἕλλησι, περὶ ἧς μοι τρία πεφιλοτίμηται βιβλία τὴν ἐπιγραφὴν ἔχοντα παραδόξου ἱστορίας. Καὶ γὰρ περὶ ἐνίων, ὧν οὔδε τὰ ὀνόματα ἴσασιν οἱ Φοίνικες,

Sed enim qui novissime rerum sacrarum disputationem attigere, cum eorum, quæ facta erant, ipso statim initio veritatem rejecissent, allegoriis quibusdam ac fabulis excogitatis, cumque rebus iis, quæ hujus universi naturam consequuntur affinitate conficta, mysteria densis obducta tenebris instituerunt, ne quis eorum, quæ reapse gesta erant, veritatem intueri facile posset. Ille autem cum in arcana quædam Ammuneorum volumina incidisset, quæ ex interioribus templorum penetralibus, ubi ante jacuerant, educta cum obvia passim non essent, omnium sententiam diligenti meditatione quæsivit, lætumque suscepti laboris exitum consecutus, quæ in ipso aditu occurrebant fabulis cum allegoriis omnibus de medio sublatis, institutum opus suum ad maturitatem perduxit: donec qui post ipsum exstitere sacerdotes, idem ipsum occultare denuo atque ad priscarum fabularum commenta revocare postea voluissent, unde mysticus ille sensus emersit, qui nunquam antea Græcorum animos occuparat.

Hæc a nobis reperta sunt, cum vehementi cognoscendæ Phœnicum historiæ desiderio teneremur, ac posteaquam ingentem librorum monumentorumque sylvam cupide scrutati essemus, non eam tamen, quæ penes Græcos erat, quod ipsam magna cum dissensione animorum et contentionis potius, quam veritatis studio conflatam a nonnullis esse perviderem. Græci enim, ut notum est, barbaros despiciunt et maxima cum insolentia loquuntur de rebus externorum, earum præcipue gentium, qui Orientem versus degunt. Ad fidem autem, illis scriptis adhibendam, eo maxime quod oculis intuemur, Græcorum scriptorum dissidio adducti sumus, de quo tria volumina, quorum inscriptio est de incredibili historia, studiose ac diligenter elaboravimus. Græci enim vel de quibusdam narrant

οὔτ' Ἀγήνορος οἱ Σιδόνιοι, οὔτ' οἱ Βύβλιοι τοῦ Βάλαντος, ὃν φασιν οἱ ποιηταὶ Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν νίκησαι τρικάρηνον, λόγους πεποιηκότες Ἕλληνες δῆλοί εἰσι τῶν Φοινίκων τὰ μὲν διαφθάροντες, τὰ δ' ὅλως Ψευσάμενοι διὰ τὴν παλαιὰν τῆς Ἑλλάδος εἰς Ἀσίαν ζηλοτυπίαν. Τὴν μὲν οὖν ἀλήθειαν καὶ τοῖς Ἕλλησιν ἐκφανοῦντι δόξαν μοι τὴν τοῦ Σαγχουνιαθῶνος μεθερμήνευσαι διήγησιν.

Προδιαρθρῶσαι δὲ ἀναγκαῖον πρὸς τὴν αὖθις σαφήνειαν, καὶ τὴν τῶν κατὰ μέρος διάγνωσιν, ὅτι οἱ παλαιότατοι τῶν βαρβάρων, ἐξαιρέτως δὲ Φοίνικες καὶ Αἰγύπτιοι, παρ' ὧν καὶ οἱ λοιποὶ παρέλαβον ἄνθρωποι, θεοὺς ἐνόμιζον μεγίστους τοὺς τὰ πρὸς τὴν βιωτικὴν χρεῖαν εὑρόντας, ἢ καὶ κατά τι εὐποιήσαντας τὰ ἔθνη· εὐεργέτας τε τούτους καὶ πολλῶν αἰτίους ἀγαθῶν ἡγούμενοι ὡς θεοὺς προσεκύνουν, καὶ εἰς τὸ χρεὼν καταστάντας ναοὺς μετασκευασάμενοι στήλας τε καὶ ῥάβδους ἀφιέρουν ἐξ ὀνόματος αὐτῶν, καὶ ταῦτα μεγάλως σεβόμενοι καὶ ἑορτὰς ἔνεμον αὐτοῖς τὰς μεγίστας οἱ Φοίνικες. Ἐξαιρέτως δὲ καὶ ἀπὸ τῶν σφετέρων βασιλέων, τοῖς κοσμικοῖς σοιχείοις, καί τισι τῶν νομιζομένων θεῶν τὰς ὀνομασίας ἐπέθεσαν· φυσικοὺς δὲ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ Θεοὺς μόνους ἐγίνωσκον, ὥστ' αὐτοὺς τοὺς μὲν θνητοὺς, τοὺς δὲ ἀθανάτους θεοὺς εἶναι. Ἀπαρχώμεθα δὲ τῆς τοῦ Σαγχουνιαθῶνος ἑρμηνείας.

viris, quorum ne nomina quidem apud Phœnices innotuere, neque Agenoris apud Sidonios, neque apud Byblios Balantis, quem tricipitem dicunt poëtæ vicisse Byblum ad mare sitam Sidonemque florentem, qua re apparet, eos Phœnicum historiam passim depravasse, magnamque partem plane commentitos esse, propter vetustas inter Græcos et Asiam inimicitias. Ut vero et Græci distinguere possint, quid sit verum, quid falsum, Sanchuniathonis narrationem in Græcum sermonem vertere, mihi visum est.

Jam vero, quo illustrior habeatur magisque distincta rerum, quæ jam sequuntur, intelligentia, hoc etiam ante omnia ponere nos oportet, barbarorum antiquissimos, Phœnices imprimis et Aegyptios, a quibus cæteri deinceps populi morem illum accepere, in maximorum Deorum loco eos omnes habuisse, qui res ad vitam agendam necessarias invenissent, quique beneficium aliquod in genus humanum contulissent. Eos nimirum, quod sibi plurimorum bonorum auctores esse persuaderent, divinis honoribus coluere; ac templorum usu, quæ jam ante exstructa fuerant, hoc ad munus officiumque traducto columnas insuper virgasque ipsorum nomine consecrarunt, eaque præcipuo religionis cultu prosecuti Phœnices, festos illis quoque dies longe celeberrimos dedicarunt. In quo quidem eximium fuit illud, quod regum suorum nomina universi hujus elementis, ac quibusdam eorum, quibus divinitatem ipsi tribuebant, imponerent. Naturales porro Deos, Solem, Lunam reliquasque stellas inerrantes, cum elementis ac cæteris cum iisdem affinitate conjunctis, solos ex omnibus agnoscebant, ut mortales quidem alios, alios autem immortales Deos haberent. Jam vero Sanchuniathonem vertere incipiamus.

ΤΩΝ ΤΟΥ ΣΑΓΧΟΥΝΙΑΘΩΝΟΣ

Α΄.

I. Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη, ἢ πνοιὴν ἀέρος ζοφώδους, καὶ χάος θολερὸν ἐρεβῶδες· ταῦτα δὲ εἶναι ἄπειρα, καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. Ὅτε δέ, φησιν, ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν, καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη πόθος· αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων· αὐτὸ δὲ οὐκ ἐγίνωσκε τὴν αὐτοῦ κτίσιν· καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐγένετο Μώτ· (τοῦτο τινές φασιν ἰλύν, οἱ δὲ ὑδατώδους μίξεως σῆψιν). Καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως καὶ γένεσις τῶν ὅλων.

II. Ἦν δέ τινα ζῶα οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῶα νοερὰ, καὶ ἐκλήθη Ζωφασημὶν (τοῦτ' ἔστιν οὐρανοῦ κατόπται) καὶ ἀνεπλάσθη ὁμοίως ᾠοῦ σχήματι, καὶ ἐξέλαμψε Μὼτ, ἥλιός τε καὶ σελήνη, ἀστέρες τε καὶ ἄστρα μεγάλα. Καὶ τοῦ ἀέρος διαυγάσαντος, διὰ πύρωσιν καὶ τῆς θαλάττης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. Καὶ ἐπειδὴ διεκρίθη

HISTORIARUM SANCHUNIATHONIS LIBER PRIMUS.

I. Principium hujus universi ponit Aërem tenebrosum ac spiritu fœtum, seu mavis tenebrosi aëris flatum ac spiritum, chaosque turbidum altaque caligine circumfusum. Haec porro infinita esse, nullumque nisi longo sæculorum intervallo terminum habere. Verum ubi spiritus, inquit, amore principiorum suorum flagrare cœpisset, cumque simul esset mixtio consecuta, nexum hunc mutuum Cupidinem appellarunt. Is quidem omnium rerum procreationis principium fuit. Tum spiritus suam ipsius iniit procreationem, qua ex conjunctione prodiit Mot (id quod limum nonnulli, alii aquosæ mixtionis corruptionem esse volunt), ex qua sequutæ productionis semina, ipsaque adeo rerum universarum generatio exstiterit.

II. Cæterum quædam animantia erant, omni carentia sensu, quæ intelligentia præditos animantes procrearunt, quibus nomen erat Zophasemin (cœli contemplatorum), atque qui in ovi figuram conformati erant. Illico autem Mot cum sole, luna, stellis, ac reliqua majorum astrorum multitudine emicuit. Cum autem aër igneum emisisset splendorem, ex ardenti maris terrarumque inflammatione, venti, nubes, magnoque ruentium impetu cœlestium imbrium et nimborum effusiones exstitere; cum autem hæc omnia, quæ distincta paullo ante ac propter vehementiorem

καὶ τοῦ ἰδίου τόπου διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν, καὶ πάντα συνήντησε πάλιν ἐν ἀέρι τάδε τοῖςδε καὶ συνέῤῥαξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαὶ, καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν προγεγραμμένα νοερὰ ζῶα ἐγρηγόρησεν, καὶ πρὸς τὸν ἦχον ἐπτύρη καὶ ἐκινήθη ἔν τε γῇ καὶ θαλάττῃ ἄῤῥεν καὶ θῆλυ.

Ταῦθ' εὑρέθη ἐν τῇ κοσμογονίᾳ γεγραμμένῃ Τααύτου καὶ τοῖς ἐκείνου ὑπομνήμασιν, ἔκ τε στοχασμῶν καὶ τεκμηρίων, ὧν ἑώρακεν αὐτοῦ ἡ διάνοια καὶ εὗρε καὶ ἡμῖν ἐφώτισε.

Τέτταρες δ' ἐκ τοῦ πνεύματος ἐγεννήθησαν ἀδελφοὶ, μετέωροι τε καὶ ὑβριστικοὶ, καὶ ἐλαφροί· ἡλικίαν δ' ἔχοντες δεινὸν ἐπολέμουν καὶ πολυχρόνιον πόλεμον, ὥστε μικροῦ ἐδέησαν ἀναστατοῦντες διαφθεῖραι τὰ γενόμενα. Ἐπ' αἰτίᾳ τοιαύτῃ ὁ πατὴρ αὐτοῖς τὴν γῆν διαδέδωκεν. Ὀρβίῳ μὲν κατατάξας τὰ πρὸς μεσημβρίαν, Τυφῶνι τὰ βόρεια, Κάδμῳ τὰ πρὸς ἡλίου ἀνατολὴν, Ῥαχίμῳ τὰ πρὸς ἑσπέραν. Ἀλλ' οὐκ ἐπαύοντο πολεμοῦντες καὶ ἐσβάλλοντες ἐς χώραν ὁ μὲν Ὄρβιος ἐς τὴν τοῦ Τυφῶνος, ὁ δὲ Τυφῶν ἐς τὴν τοῦ Ὀρβίου. (Τούτους οἱ Ἕλληνες μετέφρασαν, Τυφῶνα μὲν Βορέαν, Ὄρβιον δὲ Νότον). Πολλὰς δὲ ἄγοντες πρὸς γάμον γυναῖκας ἐξ αὐτῶν ἐποιήσαντο παῖδας πολλοὺς καὶ δεινούς, ἀνέμους γενομένους.

III. Εἶτα γεγόνασιν ἐκ τοῦ Κολπία ἀνέμου καὶ γυναικὸς αὐτοῦ Βάαυτ (οὕτως ὀνομάζουσι νύκτα Φοί-

solis æstum a propria sede disjuncta fuerant, in eodem rursus ære concurrerent, atque alio cum aliis committerentur; tonitrua simul ac fulgura peperere; quorum ad tonitruum fragorem, descripti antea intellectu praediti animantes velut a somno excitati, horrendoque sonitu exterriti, mares pariter ac feminæ tam in terra quam in mari cœperunt moveri.

Quæ omnia in Taauti de mundi ortu commentariis leguntur; atque hæc quidem ipse cum argumentis et conjecturis, quas mentis acie perviderat, excogitavit; tum eorum quoque facem nobis prætulit.

Spiritus vero quattuor genuit filios superbos atque impudentes et celerrimos, qui quum pubertatem ingressi dirum per multos annos gererent bellum, haud multum abfuit, quin mundum diruissent. Quod ut impediret pater orbem terrarum iis distribuit in hunc modum; Orbio dedit, regiones meridionales, Typhoni autem septemtrionales, Cadmo Orientem, Rachimo ea quæ spectant in occasum solis. Attamen bello haud abstinebant, sed irruptiones fecere Orbius in regnum Typhonis, Typhon autem in Orbii regionem. (Græci Typhonem Boream nominant, Orbium autem Notum.) Multas autem mulieres in matriomonium ducentes, multitudinem procrearunt, filiorum fortium, ventorum.

III. Tum ex Colpia vento ejusque uxore Baaut (quo verbo Phœnices noctem significant) procreati

νικες) Αἰὼν καὶ Πρωτόγονος, θνητοὶ ἄνθρωποι οὕτω καλούμενοι· εὗρε δὲ τὴν ἀπὸ τῶν δένδρων τροφὴν Αἰών· οὗτοι δὲ πρῶτοι τῆς γῆς ἀφιέρωσαν βλαστήματα, καὶ θεοὺς ἐνόμιζον καὶ προσεκύνουν ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγίνοντο καὶ οἱ ἑπόμενοι καὶ οἱ πρὸ αὐτῶν πάντες καὶ χοὰς καὶ ἐπιθύσεις ἐποίουν. Αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως, ὅμοιαι τῶν αὐτῶν ἀσθενείᾳ καὶ ψυχῆς ἀτολμίᾳ.

Ἐκ τούτων, φησὶν ὁ Σαγχουνιάθων, τοὺς γενομένους κληθῆναι Γένος καὶ Γενεὰν, καὶ οἰκῆσαι τὴν Φοινίκην, αὐχμῶν δὲ γενομένων τὰς χεῖρας εἰς οὐρανοὺς ὀρέγειν πρὸς τὸν ἥλιον· τοῦτον γὰρ θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον, Βεελσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι κύριος οὐρανοῦ, Ζεὺς δὲ παρ' Ἕλλησιν. Οὐ γὰρ ματαίως αὐτὰ πολλαχῶς διεστειλάμεθα, ἀλλὰ πρὸς τὰς αὖθις παρεκδοχὰς τῶν ἐν τοῖς πράγμασιν ὀνόματων, ἅπερ οἱ Ἕλληνες ἀγνοήσαντες ἄλλως ἐξεδέξαντο, πλανηθέντες τῇ ἀμφιβολίᾳ τῆς μεταφράσεως.

Ἑξῆς φησὶν ἀπὸ γένους Αἰῶνος καὶ Πρωτογόνου γενηθῆναι αὖθις παῖδας θνητοὺς, οἷς εἶναι ὀνόματα Φῶς καὶ Πῦρ καὶ Φλόξ· οὗτοι ἐκ παρατριβῆς ξύλων εὗρον πῦρ καὶ τὴν χρῆσιν ἐδίδαξαν. Υἱοὺς δὲ ἐγέννησαν οὗτοι μεγέθει τε καὶ ὑπεροχῇ κρείττονας, ὧν τὰ ὀνόματα τοῖς ὄρεσιν ἐπετέθη, ὧν ἐκράτησαν, ὡς ἐξ αὐτῶν κληθῆναι τὸ Κάσιον καὶ τὸν Λίβανον καὶ τὸν Ἀντιλίβανον καὶ τὸ Βραθύ. Ἐκ τούτων ἐγεννήθησαν Μημροῦμος καὶ Οὔσωος καὶ Ὑψουράνιος, ἀπὸ μητέρων

sunt Aeon et Primogenitus, mortales homines, ex quibus Aeon cibi ex arboribus petendi auctor fuit, quam ob caussam hi principes terræ consecrarunt germina, iisque Deorum in loco habitis adorationis cultum tribuerunt, quibus non ipsi modo, sed ipsorum etiam posteri, majoresque omnes vitam tolerarunt, inferiasque perfecerunt atque libamina, quæ quidem divini cultus cogitationes cum illorum imbecillitate animique angustiis congruebant.

Ex his procreatos, narrat Sanchuniatho, Genum et Geneam nominatos fuisse, Phœnicenque incoluisse. Quum autem vehementior urgeret æstus, in cœlum manus ad Solem sustulisse, quippe quem unum cœli moderatorem esse crediderint. Hac de caussa etiam Beelsamen eum nominabant, cœli dominum, qui Græcis est Zeus sive Jupiter. Neque enim sine ratione pluribus ista modis explicate distinguenda putavimus, sed varias hac etiam in parte nominum quæ rebus attribuuntur rationes ac significationes secuti sumus, quæ Græci cum ignorarent, alieno accepere sensu, in errorem ambiguitate significationis inducti.

Porro ex genere Aeonis et Primogeniti natos ait esse liberos morti similiter obnoxios, eosque Lucis, Ignis et Flammæ nominibus appellatos, qui cum ex mutua lignorum collissione ignem reperissent, ejusdem usum docuerint homines. Iidem filios genuere, qui mole et proceritate corporis vulgus hominum longe superarent, quorum nomina iis attributa sunt montibus, quos ipsi occuparant, quare Cassius, Libanus, Antilibanus et Brathyus montes nomen ab illis accepere. Horum filii erant Memrumus et Usous et Hypsuranius, qui a matribus ejus-

χρηματίζοντες τῶν τότε γυναικῶν ἀναίδην μισγομένων, οἷς ἂν ἐντύχοιεν. Εἶτα Ὑψουράνιον λέγουσιν οἰκῆσαι Τύρον, καλύβας τε ἐπινοῆσαι ἀπὸ καλάμων καὶ θρύων καὶ παπύρων· στασιάσαι δὲ πρὸς τὸν ἀδελφὸν Οὔσωον, ὃς σκέπην τῷ σώματι πρῶτος ἐκ δερμάτων ὧν ἴσχυσε συλλαβὼν θηρίων εὗρε· ῥαγδαίων δὲ γενομένων ὄμβρων καὶ πνευμάτων, παρατριβέντα τὰ ἐν τῇ Τύρῳ δένδρα πῦρ ἀνάψαι, καὶ τὴν αὐτόθι ὕλην καταφλέξαι· δένδρου δὲ λαβόμενον τὸν Οὔσωον καὶ ἀποκλαδεύοντα, πρῶτον τολμῆσαι εἰς θάλατταν ἐμβῆναι, ἀνιερῶσαι δὲ δύο στήλας πυρί τε καὶ πνεύματι καὶ προσκυνῆσαι, ἅμα δὲ σπένδειν αὐταῖς ἐξ ὧν ἤγρευε θηρίων. Τούτων δὲ τελευτησάντων, τοὺς ἀπολειφθέντας φησὶ ῥάβδους αὐτοῖς ἀφιερῶσαι, καὶ τὰς στήλας προσκυνεῖν καὶ τούτοις ἑορτὰς ἄγειν κατ' ἔτος.

IV. Χρόνοις δ' ὕστερον πολλοῖς ἀπὸ τῆς Ὑψουρανίου γενεᾶς Ἀγρέα γενέσθαι καὶ Ἁλιέα, τοὺς τῆς ἁλιείας καὶ τῆς ἄγρας εὑρετὰς, ἐξ ὧν κληθῆναι ἀγρευτὰς καὶ ἁλιεῖς· ἐξ ὧν γενέσθαι δύο ἀδελφοὺς, σιδήρου εὑρετὰς, καὶ τῆς τούτου ἐργασίας· ὧν θάτερον τὸν Χρυσὼρ (ὃν Ἕλληνες μεταφράζουσιν Ἥφαιστον) λόγους ἀσκῆσαι καὶ ἐπῳδὰς καὶ μαντείας, εὑρεῖν δὲ καὶ ἄγκιστρον καὶ δέλεαρ καὶ ὁρμιὰν καὶ σχεδίαν· πρῶτόν τε λέγουσι πάντων ἀνθρώπων πλεῦσαι· δι' ὃ καὶ ὡς θεὸν αὐτὸν μετὰ θάνατον ἐσεβάσθησαν· καλοῦσι δ' αὐτὸν καὶ Διαμίχιον. Οἱ δὲ τοὺς ἀδελφοὺς

modi invenere appellationes, mulierculis, quæ sui copiam eïs temporibus obvio cuilibet impudentissime faciebant. Jam vero Hypsuranium dicunt Tyrum incoluisse, ac tiguriorum ex calamis cum junco papyroque contextis efficiendorum artem excogitasse, gravesque exercuisse inimicitias cum Usoo fratre, qui princeps pellibus, quas feris a se captis detraxerat, corpus instituerit tegere; cumque, turbulenta imbrium ventorumque tempestate coorta, ex Tyri arborum collisione ignis exarsisset, arbore, cujus ante ramos amputarat, navigii loco mari sese, nullo licet exemplo, committere ausus est Usous. Geminos quoque cippos cum igni ventoque dedicasset, mox utrique adorationis cultum exhibuit, quasque venando ceperat, ferarum libavit sanguinem. Posteaquam autem supremum isti omnes diem obiissent, qui superstites remansere, virgas ac cippos in eorum honorem consecratos adorasse dicuntur festosque dies solenni ritu quotannis peregisse.

IV. Multis autem post seculis ex Hypsuranii illius sobole Venator et Piscator sunt nati, qui piscationis et venationis artem invenere, ac toti piscatorum venatorumque ordini suum postea nomen indidere; ab iisdem procreati sunt duo fratres, qui ferrum invenerunt usumque ferri; quorum alter, cui Chrysoris erat nomen (quem Græci Vulcanum vertunt) plurimum operæ studiique collocavit partim in eloquentia, partim in cantionibus artibusque divinandi. Is etiam hamum atque escam, piscatorum lineam ac rates tumultuarias invenit omniumque mortalium primus navigavit, quamobrem eum quoque post obitum Dei instar colebant, ipsumque præterea Diamichii nomine appellabant. Neque etiam desunt,

αὐτοῦ τοίχους φασὶν ἐπινοῆσαι ἐκ πλίνθων· μετὰ ταῦτα ἐκ τοῦ γένους τούτου γενίσθαι νεανίδας δύο, καλεῖσθαι δ' αὐτῶν τὸν μὲν Τεχνίτην, τὸν δὲ Γήϊνον Αὐτόχθονα. Οὗτοι ἐπενόησαν τῷ πηλῷ τῆς πλίνθου συμμιγνύειν φορυτὸν καὶ τῷ ἡλίῳ αὐτοὺς τερσαίνειν, ἀλλὰ καὶ στέγας ἐξεῦρον. Ἀπὸ τούτων ἐγένοντο ἕτεροι, ὧν ὁ μὲν Ἀγρὸς ἐκαλεῖτο ὁ δὲ Ἀγρούηρος ἢ Ἀγρότης, οὗ καὶ ξόανον ἀνέστησαν μάλα σεβάσμιον καὶ ναὸν ζυλοφορούμενον ἐν Φοινίκῃ· παρὰ δὲ Βυβλίοις ἐξαιρέτως θεῶν ὁ μέγιστος ὀνομάζεται· ἐπενόησαν δὲ οὗτοι αὐλὰς προστιθέναι τοῖς οἴκοις καὶ περιβόλαια καὶ σπήλαια· ἐκ τούτων ἀγρόται καὶ κυνηγοί. Οὗτοι δὲ Ἀλῆται καὶ Τιτάνες καλοῦνται. Ἀπὸ τούτων φασὶν, Ἄμυνον γενέσθαι καὶ Μάγον, οἱ κώμας καὶ ποίμνας κατέδειξαν, ἀπὸ δὲ τούτων Μισὼρ καὶ Συδὺκ (τοῦτ' ἐστὶν Εὔλυτον καὶ Δίκαιον)· οὗτοι τὴν τοῦ ἁλὸς χρῆσιν εὗρον. Ἀπὸ Μισὼρ Τάαυτος, ὃς εὗρε τὴν τῶν πρώτων στοιχείων γραφήν· ὃν Αἰγύπτιοι μὲν Θωὼθ, Ἀλεξανδρεῖς δὲ Θωὺθ, Ἕλληνες δὲ Ἑρμῆν ἐκάλεσαν· ἐκ δὲ τοῦ Συδὺκ Διόσκουροι, ἢ Κάβειροι ἢ Κορύβαντες ἢ Σαμοθρᾶκες. Οὗτοί, φησι, πρῶτοι πλοῖον εὗρον. Ἐκ τούτων γεγόνασιν ἕτεροι, καὶ βοτάνας εὑρόντες καὶ τὴν τῶν δακετῶν ἴασιν καὶ ἐπῳδάς.

V. Κατὰ τούτους γίνεταί τις Ἐλιοῦν καλούμενος Ὕψιστος, καὶ θήλεια λεγομένη Βηροὺθ, οἱ καὶ κατῴκουν περὶ Βύβλον ἐξ ὧν γεννᾶται Ἐπίγειος ἢ Αὐτόχθων, ὃν ὕστερον ἐκάλεσαν Οὐρανόν· ὡς ἀπ' αὐ-

qui ab ejusdem fratribus struendorum ex lateribus murorum rationem excogitatam esse velint. Ab ejusdem posteris geniti sunt adolescentes duo, quorum unus Artifex, alter vero terrestris Indigena nuncupatus. Hi quisquiliarum cum lateritio luto miscendarum, utriusque vero solis calore exsiccandi tectorumque ædibus imponendi auctores fuere. Alios item duos procrearunt, quorem alter Agri nomen accepit alter Rustici sive Agricolæ, cui etiam simulacrum eximio cultu est dedicatum templumque in Phœnice, quod ab aliquot jugatorum boum paribus gestabatur; quin etiam apud Byblios maximus Deorum habetur. Ambo præterea construendis ædibus non solum atria, verum etiam ducta in orbem septa cum speluncis addidere. Ab iis tam agricolarum, quam venatorum, qui canibus utuntur, genus propagatum, quibus Erronum et Titanum attributum nomen. Horum filii erant, ut dicitur, Amynus et Magus, quibus villarum gregumque alendorum rationes feruntur acceptæ; ex istis nati sunt Misor et Sydyc (hoc est solutu facilis et justus), qui salis usum reperere. Misoris filius Taautus, quem Aegyptii Thooth, Alexandrini Thoyth, Græci Mercurium nominavere, primorum in scribendo elementorum erat inventor. Sydyc autem filios habuit Dioscuros seu Cabiros seu Corybantes, seu denique Samothraces, quos dicit principes navem invenisse. Ex his alii progeniti sunt, qui et herbas et venenatorum morsuum curationem cantionesque invenerunt.

V. Eorundem ætate natus est Eliun quidam nomine Altissimus, itemque femina, cui Beruth erat nomen, quorum domicilium erat in iis locis, ubi jam Bybliorum urbs exstructa est; habebant autem filium Epigeum sive Indigenam, quem postea

τοῦ καὶ τὸ ὑπὲρ ἡμᾶς στοιχεῖον, δι' ὑπερβολὴν τοῦ κάλλους ὀνομάζειν οὐρανόν. Γεννᾶται δὲ τούτῳ ἀδελφὴ ἐκ τῶν προειρημένων, ἣ καὶ ἐκλήθη Γῆ, καὶ διὰ τὸ κάλλος ἀπ' αὐτῆς ἐκάλεσαν τὴν ὁμώνυμον γῆν. Ὁ δὲ τούτων πατὴρ ὁ Ὕψιστος ἐκ συμβολῆς θηρίων τελευτήσας ἀφιερώθη, ᾧ καὶ χοὰς καὶ θυσίας οἱ παῖδες ἐτέλεσαν. Παραλαβὼν δὲ ὁ Οὐρανὸς τὴν τοῦ πατρὸς ἀρχὴν, ἄγεται πρὸς γάμον τὴν ἀδελφὴν Γῆν, καὶ ποιεῖται ἐξ αὐτῆς παῖδας τέτταρας, Ἶλον τὸν καὶ Κρόνον, καὶ Βέτυλον, καὶ Δαγὼν, ὅς ἐστι Σίτων, καὶ Ἄτλαντα, καὶ ἐξ ἄλλων δὲ γαμετῶν ὁ Οὐρανὸς πολλὴν ἔσχε γενεάν· δι' ὃ καὶ χαλεπαίνουσα ἡ Γῆ, τὸν Οὐρανὸν ζηλοτυποῦσα ἐκάκιζεν, ὡς καὶ διαστῆναι ἀλλήλων. Ὁ δ' Οὐρανὸς αὐτῆς ἀποχωρήσας, μέτα βίας, ὅτε καὶ ἐβούλετο ἐπιὼν καὶ πλησιάζων αὐτῇ πάλιν ἀπηλλάττετο· ἐπεχείρει δὲ καὶ τοὺς ἐξ αὐτῆς παῖδας διαφθείρειν καὶ τὴν Γῆν αὐτὴν, ἀμύνεσθαι πολλάκις ἐθέλουσαν καὶ συμμαχίαν αὐτῇ συλλεξαμένην.

Εἰς ἄνδρας δὲ προελθὼν ὁ Κρόνος Ἑρμῇ τῷ τρισμεγίστῳ συμβούλῳ καὶ βοηθῷ χρώμενος· (οὗτος γὰρ ἦν αὐτοῦ γραμματεὺς,) τὸν πατέρα Οὐρανὸν ἀμύνεται, τιμωρῶν τῇ μητρί. Κρόνου δὲ γίγνονται παῖδες Περσεφόνη καὶ Ἀθηνᾶ. Ἡ μὲν οὖν πρώτη πάρθενος ἐτελεύτα· τῆς δὲ Ἀθηνᾶς γνώμῃ καὶ Ἑρμοῦ κατεσκεύασε Κρόνος ἐκ σιδήρου ἅρπην καὶ δόρυ· εἶτα ὁ Ἑρμῆς τοῖς τοῦ Κρόνου συμμάχοις λόγους μαγείας διαλεχθεὶς πόθον ἐνεποίησε τῆς κατ' Οὐρανὸν μάχης

Cœlum nominabant; a quo etiam sublime illud elementum, quod supra nos volvitur, propter eximiam pulchritudinis speciem cœlum vocarunt. Is sororem iisdem natam habebat parentibus, cui nomen Terra, quod propter singularem ejus corporis venustatem cum ea, quam terram vocamus, postea communicarunt; quorum pater Altissimus, cum ferarum congressione periisset, Deorum in numerum relatus, a liberis colebatur, libationibus et sacrificiis. At Cœlus ubi paternum in imperium successisset, Terram sororem matrimonio secum junxit, ex eaque liberos quattuor suscepit, Ilum qui etiam Saturnus dicitur, Betylum, Dagonem, (qui Sito seu frumenti præses nominatur) atque Atlantem. Ex aliis autem uxoribus ingentem liberorum multitudinem genuit, id quod adeo grave et acerbum Terræ accidit ut zelotypia vehementiore succensa, a Cœlo multis ante probris onerato divortium fecerit. Cœlus autem, etsi ab eo discesserat, vi tamen quoties libitum erat, eadem oppressa, domum sese denuo recipiebat. Verum et susceptos ex ea liberos interficere conatus est, Terramque ipsam, quæ convocatis auxiliaribus copiis ejus impetum sæpe propulsavit.

Interea Saturnus cum virilem attigisset ætatem, Mercurii Trismegisti, (qui ipsi a tabulis et codicillis erat) consilio atque opibus, maternas ulturus injurias, Cœlo patri acriter sese objecit. Idem liberos procreavit Proserpinam ac Minervam, quarum prior virgo mortua est. Minerva autem Mercurioque auctoribus Cronus et falcem ex ferro et hastam sibi conflavit. Tum Mercurius Saturni sociis vehemens contra Cœlum pro Terra dimicandi magicis cantionibus injecit desiderium; his igitur instructus

ὑπὴρ τῆς Γῆς, καὶ οὕτω Κρόνος τὸν Οὐρανὸν πολέμῳ συμβαλὼν τῆς ἀρχῆς ἤλασε καὶ τὴν βασιλείαν διεδέξατο. Ἑάλω δὲ ἐν τῇ μάχῃ καὶ ἡ ἐπέραστος τοῦ Οὐρανοῦ σύγκοιτος ἐγκύμων οὖσα, ἣν ἐκδίδωσιν ὁ Κρόνος εἰς γάμον τῷ Δαγῶνι· τίκτει δὲ παρὰ τούτῳ ὃ κατὰ γαστρὸς ἐξ Οὐρανοῦ ἔφερεν, ὃ καὶ ἐκάλεσε Δημαροῦν. Ἐπὶ τούτοις ὁ Κρόνος τεῖχος περιβάλλει τῇ ἑαυτοῦ οἰκήσει, καὶ πρώτην πόλιν κτίζει τὴν ἐπὶ Φοινίκης Βύβλον. Μετὰ ταῦτα τὸν ἀδελφὸν τὸν ἴδιον Ἄτλαντα ὑπονοήσας ὁ Κρόνος, μετὰ τῆς τοῦ Ἑρμοῦ γνωμῆς εἰς βάθος γῆς ἐμβαλὼν κατέχωσε.

VI. Κατὰ τοῦτον τὸν χρόνον οἱ ἀπὸ τῶν Διοσκούρων σχεδίας καὶ πλοῖα συνθέντες, ἔπλευσαν· καὶ ἐκκριφέντες κατὰ τὸ Κάσιον ὄρος νάον αὐτόθι ἀφιέρωσαν. Οἱ δὲ σύμμαχοι Ἴλου τοῦ Κρόνου Ἐλοεὶμ ἐπεκλήθησαν, ὡς ἂν Κρόνιοι, οὗτοι ἦσαν οἱ λεγόμενοι ἀπὸ Κρόνου. Κρόνος δὲ υἱὸν ἔχων Σάδιδον, ἰδίῳ αὐτὸν σιδήρῳ διεχρήσατο, δι' ὑπονοίας αὐτὸν ἐσχηκὼς, καὶ τῆς ψυχῆς, αὐτόχειρ τοῦ παιδὸς λενόμενος, ἐστέρησεν. Ὡσαύτως καὶ θυγατρὸς ἰδίας τὴν κεφαλὴν ἀπέτεμεν· ὡς πάντας πεπλῆχθαι θεοὺς τὴν Κρόνου γνώμην. Χρόνου δε προϊόντος Οὐρανὸς ἐν φυγῇ τυγχάνων, θυγατέρα αὐτοῦ πάρθενον Ἀστάρτην μεθ' ἑτέρων αὐτῆς ἀδελφῶν δύο, Ῥέας καὶ Διώνης, δόλῳ τὸν Κρόνον ἀνελεῖν ὑποπέμπει, ἃς καὶ ἑλὼν ὁ Κρόνος κουριδίας γαμετὰς ἀδελφὰς οὔσας ἐποιήσατο. Γνοὺς δὲ ὁ Οὐρανὸς ἐπιστρατεύει κατὰ τοῦ Κρόνου Εἱμαρμένην καὶ Ὥραν μεθ' ἑτέρων συμμάχων, καὶ ταύτας

copiis Cronus bellum cum patre committit eoque imperii finibus ejecto, regnum capessit. Hoc in certamine capta Cœli concubina, cujus ille singulari amore flagrabat, quam gravidam Dagoni in matrimonium dedit, apud quem susceptam ex Cœlo fœtum enixa Demaroontem nominavit. Tum vero Saturnus ædes suas cingit, muro, urbemque condit omnium in Phœnicia primam, Byblum, fratrem autem, quod eum suspectum haberet, Atlantem, Mercurio suadente, alta terra defossum, obruit.

VI. Eodem fere tempore Dioscurorum posteri ratibus navigiisque conflatis, cum navigarent, ad Cassium montem ejecti templum eo loco dedicarunt. Jam vero socios Ili, qui Saturnus idem erat, Eloim quasi Saturnios appellarunt, qui ejusdem Saturni æquales etiam dicebantur. Porro Sadidum filium Saturnus, quod secus aliquid de illo suspicaretur, gladio suo jugulavit, manusque paternas exstincti sanguine cruentavit. Mox etiam filiam truncavit capite, ut reliqui omnes Dii hanc Saturni mentem penitus obstupescerent. At Cœlus cum interim exsularet, post aliquod temporis intervallum Astarten filiam virginem cum duabus aliis sororibus, Rhea et Dione summisit, quæ Saturnum fraude insidiisque tollerent. Verum Saturnus amore blanditiisque captas sorores ambas secum matrimonio copulavit. Quod cum Cœlus audiisset Fatum et Pulchritudinem cum aliis sociis adversus eum expeditionem jussit suscipere, quam pariter utramque Saturnus illecebris delinitam apud se retinuit.

ἐξοικειωσάμενος ὁ Κρόνος παρ' ἑαυτῷ κατέσχεν. Ἔτι δὲ ἐπενόησε θεὸς Οὐρανὸς Βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. Κρόνῳ δὲ ἐγένοντο ἀπὸ Ἀστάρτης θυγατέρες ἑπτὰ Τιτανίδες ἢ Ἀρτέμιδες, καὶ πάλιν τῷ αὐτῷ γίνονται ἀπὸ Ῥέας παῖδες ἑπτὰ, ὧν ὁ νεώτατος ἅμα τῇ γενέσει ἀφιερώθη· καὶ ἀπὸ Διώνης θήλειαι, καὶ ἀπὸ Ἀστάρτης πάλιν ἄῤῥενες δύο, Πόθος καὶ ἄΕρως. Ὁ δὲ Δαγὼν ἐπειδὴ εὗρε σῖτον καὶ ἄροτρον, ἐκλήθη Ζεὺς Ἀρότριος. Συδύκῳ δὲ τῷ λεγομένῳ δικαίῳ, μία τῶν Τιτανίδων συνελθοῦσα γεννᾷ τὸν Ἀσκληπιόν. Ἐγεννήθησαν δὲ καὶ ἐν Περαίᾳ Κρόνῳ τρεῖς παῖδες, Κρόνος ὁμώνυμος τῷ πατρὶ, καὶ Ζεὺς Βῆλος καὶ Ἀπόλλων. Κατὰ τούτους γίγνονται Πόντος καὶ Τύφων καὶ Νηρεὺς, πατὴρ Πόντου· ἀπὸ δὲ τοῦ Πόντου γίγνεται Σιδὼν, ἣ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνον ᾠδῆς εὗρε, καὶ Ποσειδῶν. Τῷ δὲ Δημαροῦντι γίνεται Μελίκαρθος ὁ καὶ Ἡρακλῆς. Εἶτα πάλιν Οὐρανὸς πολεμεῖ Πόντῳ καὶ ἀποστὰς Δημαροῦντι προστίθεται· ἔπεισί τε Πόντῳ ὁ Δημαροῦς, τροποῦται δὲ αὐτὸν ὁ Πόντος· ὁ δὲ Δημαροῦς φυγῆς θυσίαν ηὔξατο. Ἔτει δὲ τριακοστῷ δευτέρῳ τῆς ἑαυτοῦ κρατήσεως καὶ βασιλείας, ὁ Ἶλος τοῦτ' ἐστὶν ὁ Κρόνος Οὐρανὸν τὸν πατέρα λοχήσας ἐν τόπῳ τινὶ μεσογείῳ, καὶ λαβὼν ὑποχείριον ἐκτέμνει αὐτοῦ τὰ αἰδοῖα συνέγγυς πηγῶν τε καὶ ποταμῶν· ἔνθα ἀφιερώθη ὁ Οὐρανὸς, καὶ ἀπηρτίσθη αὐτοῦ τὸ πνεῦμα καὶ ἀπέσταξεν αὐτοῦ τὸ αἷμα τῶν αἰδοίων εἰς τὰς πηγὰς καὶ τῶν ποταμῶν τὰ ὕδατα, καὶ μέχρι τούτου δείκνυται τὸ χωρίον.

Præterea Cœlus Deus Bætylia reperit, animatos lapides insolenti arte molitus. Cæterum Astarte filias septem Titanidas sive Dianas Saturno peperit, simulque Rhea totidem filios, quorum postremus, ut primum lucem aspexit, consecratus est. Quin etiam ex Dione quidem puellas, ex Astarte vero mares præterea duos, Cupidinem Amoremque suscepit. Dagon autem, quod frumentum et aratrum invenisset, Aratrius Jupiter nuncupatus est. Sydyco, quem justum interpretamur, una ex Titanidis Aesculapium peperit. Saturno præterea liberi tres in Peræa nati, Saturnus, ejusdem cum patre nominis, Jupiter Belus et Apollo. His propemodum æquales Pontus Typho et Nereus Ponti pater. Ex Ponto Neptunus et Sido nascuntur. Sidonis autem ea suavitas et elegantia vocis erat, ut hymni modulate canendi artem princeps inveniret. A Demaroonte Melicarthus, qui et Hercules, procreatur, et mox Cœlus ad Demaroontis sese partes adjungens, Ponto, a quo defecerat, denuo bellum movet. At Pontus Demaroontem, qui magno impetu suos in fines incubuerat, in fugam vertit; ille autem felicis fugæ gratia sacrificium vovit. Porro Saturnus anno occupati regni altero supra tricesimum, ubi Cœlum patrem mediterraneo quodam in loco structis insidiis captum in potestatem habuisset, verenda ipsi juxta fontes fluviosque circumfusos amputavit: quo loco Cœlus idem postea consecratus est. Tum vero dispertitus ejus ac dissipatus spiritus est, et sanguis e vulnere defluens in vicinorum fontium ac fluviorum aquas distillavit. Locus etiamnum ostenditur.

VII. Κρόνου δ' ἀπιόντος οἱ ἀπ' Οὐρανοῦ περιῴκουν ἐν ἀξιώματι γενόμενοι. Κατὰ τοῦτον τὸν χρόνον Πώρας ἀφ' ἡλίου ἀνατέλλοντος παραγενόμενος νάον τ' ἀφιέρωσεν Οὐράνῳ καὶ στήλας Βαράτῳ πατρί· καμήλῳ δὲ τὴν χώραν διελαύνων τὰ ἱερὰ διεφύλαξε καὶ τοῖς ἀπὸ τοῦ Οὐρανοῦ ἐβοήθησεν.

Ἀστάρτη δὲ ἡ μεγίστη καὶ Ζεὺς Δημαροῦς καὶ Ἄδωδος βασιλεὺς θεῶν ἐβασίλευον τῆς χώρας Κρόνου γνώμῃ· ἡ δὲ Ἀστάρτη ἐπέθηκε τῇ ἰδίᾳ κεφαλῇ βασιλείας παράσημον κεφαλὴν ταύρου· περινοστοῦσα δὲ τὴν οἰκουμένην εὗρεν ἀεροπετῆ ἀστέρα, ὃν καὶ ἀνελομένη ἐν Τύρῳ τῇ ἁγίᾳ νήσῳ ἀφιέρωσε. (Τὴν δὲ Ἀστάρτην Φοίνικες τὴν Ἀφροδίτην εἶναι λέγουσι). Καὶ ὁ Κρόνος δὲ περιϊὼν τὴν οἰκουμένην τῇ Ἀθηνᾷ τῇ ἑαυτοῦ θυγατρὶ δίδωσι τῆς Ἀττικῆς τὴν βασιλείαν.

Λοίμου δὲ γενομένου καὶ φθορᾶς τὸν ἑαυτοῦ μονογενῆ υἱὸν Κρόνος Οὐράνῳ πατρὶ ὁλοκαρποῖ καὶ τὰ αἰδοῖα περιτέμνεται, ταὐτὸ ποιῆσαι καὶ τοὺς ἅμ' αὐτῷ συμμάχους καταναγκάσας· καὶ μετ' οὐ πολὺ ἕτερον αὐτοῦ παῖδα ἀπὸ Ῥέας, ὀνομαζόμενον Μοὺθ, ἀποθανόντα ἀφιεροῖ. (Θάνατον δὲ τοῦτον καὶ Πλούτωνα Φοίνικες ὀνομάζουσι.

Καὶ ἐπὶ τούτοις ὁ Κρόνος Βύβλον μὲν τὴν πόλιν τῇ θεᾷ Βααλτίδι, τῇ καὶ Διώνῃ δίδωσι, Βηρυτὸν δὲ Ποσειδῶνι καὶ Καβείροις, Ἀγρόταις τε καὶ Ἁλιεῦσιν, οἱ καὶ Πόντου λείψανα εἰς τὴν Βηρυτὸν ἀφιέρωσαν.

Πρὸ δὲ τούτων θεὸς Τάαυτος μιμησάμενος τὸν Οὐρανὸν, τῶν θεῶν ὄψεις Κρόνου τε καὶ Δαγῶνος

VII. Saturnus autem cum discessisset, Cœli socii hæc incolebant loca, magnaque erant auctoritate. Eodem fere tempore Poras, ex Oriente advena, Cœlo templum consecravit, patrique Barato columnas; camelo autem vectus per hanc regionem, sacra tuebatur, Cœlique cultores defendebat.

Astarte vero, quæ Maxima nominatur, Jupiter Demaroon et Adodus Deorum rex in ea regione Saturno consentiente regnabant. Astarte capiti suo tanquam regni insigne, tauri caput imposuit; cumque terrarum orbem peragraret, lapsam de cœli stellam reperit eamque in Tyro sancta insula consecravit. (Cæterum hanc ipsam Astartem Phœnices Venerem esse memorant.) At vero Saturnus, dum orbem lustrat universum, Minervæ filiæ totius Atticæ regnum tradit.

Ac diræ pestilentiæ inclementia exitioque commotus, filium, quem unum ex legitima susceperat uxore, Cœlo patri totum flammis consumtum immolat; tum sibi verenda circumcidit, sociosque omnes ad simile factum per vim adigit; nec multo post Muth filium, quem ex Rhea genuerat, vita functum consecrat (quem Phœnices modo Mortem, modo Plutonem appellant.

Deinde Saturnus Byblum urbem Deæ Baaltidi, quæ etiam Dione vocabatur, Berytum autem Neptuno et Cabiris, Agricolis item et Piscatoribus dono dedit, ubi Ponti reliquias iidem consecrarunt.

Taautus vero Deus cum jam antea Cœli imaginem effinxisset, mox Saturnum etiam atque Dagonis

καὶ τῶν λοιπῶν διετύπωσε τοὺς ἱεροὺς τῶν στοιχείων χαρακτῆρας· ἐπενόησε δὲ καὶ τῷ Κρόνῳ παράσημα βασιλείας, ὄμματα τέσσαρα ἐκ τῶν ἐμπροσθίων καὶ τῶν ὀπισθίων μερῶν, δύο δὲ ἡσυχῇ μύοντα καὶ ἐπὶ τῶν ὤμων πτερὰ τέσσαρα, δύο μὲν ὡς ἱπτάμενα, δύο δὲ ὡς ὑφειμένα. Τὸ δὲ σύμβολον ἦν, ἐπειδὴ Κρόνος κοιμώμενος ἔβλεπε καὶ ἐγρηγορὼς ἐκοιμᾶτο· καὶ ἐπὶ τῶν πτερῶν ὁμοίως, ὅτι ἀναπαυόμενος ἵπτατο καὶ ἱπτάμενος ἀνεπαύετο.

Τοῖς δὲ λοιποῖς θεοῖς δύο ἑκάστῳ πτερώματα ἐπὶ τῶν ὤμων, ὡς ὅτι δὴ συνίπταντο τῷ Κρόνῳ· καὶ αὐτῷ δὲ πάλιν ἐπὶ τῆς κεφαλῆς πτερὰ δύο· ἓν ἐπὶ τοῦ ἡγεμονικωτάτου νοῦ, καὶ ἓν ἐπὶ τῆς αἰσθήσεως.

VIII. Ἐλθὼν δὲ ὁ Κρόνος εἰς Νότου χώραν, ἅπασαν τὴν Αἴγυπτον ἔδωκε θεῷ Τααύτῳ, ὅπως βασίλειον αὐτῷ γένηται. Ταῦτα δὲ πρῶτοι πάντων ὑπομνηματίσαντο οἱ ἑπτὰ Συδὺκ παῖδες Κάβειροι καὶ ὄγδοος αὐτῶν ἀδελφὸς Ἀσκληπιὸς, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Τάαυτος. Ταῦτα πάντα ὁ Θαβίωνος παῖς πρῶτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας τοῖς τε φυσικοῖς καὶ κοσμικοῖς πάθεσιν ἀναμίξας παρέδωκε τοῖς ὀργιῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ τὸν τύφον αὔξειν ἐκ παντὸς ἐπινοοῦντες, τοῖς αὐτῶν διαδόχοις παρέδωσαν καὶ τοῖς ἐπεισάκτοις· ὧν εἷς ἦν Ἴσιρις, τῶν τριῶν γραμμάτων εὑρετὴς, ἀδελφὸς Χνᾶ τοῦ πρώτου μετονομασθέντος Φοίνικος.

cæterorumque Deorum vultus, unaque sacros elementorum characteres expressit. Quin etiam insigne regni Saturno ejusmodi excogitavit, oculos in vultu binos ac totidem in occipite, quorum duo placide connivere videbantur: alas item singulis in humeris geminas, ex quibus explicatæ duæ, duæ vero contractæ ac demissæ erant. Atque oculorum symbolo significatum voluit Saturnum et dormiendo cernere, et dormire vigilando; alarum autem et volare quiescendo et volando quiescere.

Ceteris autem Diis alas in humeris duas tantum attribuit, quippe qui Saturnum ipsum volando sequerentur. Ad ejusdem Saturni caput alas geminas affinxit, quarum altera mentis principatum, altera sentiendi vim indicaret.

VIII. Saturnus autem cum in Noti venisset principatum, Taautum Deum Aegypti universæ regem creavit. Atque hæc principes omnium Cabiri septem liberi Sydici cum Aesculapio fratre octavo, ipsiusmet Taauti jussu in commentarios tabulasque retulerant. Thabionis autem filius, primus apud Phœnices ex omni memoria sacrorum interpres, eadem allegoriis quibusdam ementitus, cum rerum naturalium et eorum, quæ passim hoc in mundo contingunt affectionibus conjuncta, Prophetis orgia celebrantibus et sacrificiorum mysteriorumque principibus tradidit. Qui deinceps inanem hanc ostentationem, quam omni spe omnique studio augere conati erant, suis quoque successoribus et initiatis reliquere, quorum unus Isiris quidam fuit, trium inventor literarum, frater Chnæ illius, qui primus postea Phœnix vocatus est.

IX. Οἱ δὲ Ἕλληνες εὐφυΐᾳ πάντας ὑπερβαλλόμενοι τὰ μὲν πρῶτα πλεῖστα ἐξιδιώσαντο καὶ τοῖς προκοσμήμασι ποικίλως ἐξετραγῴδησαν, ταῖς τῶν μύθων ἡδοναῖς θέλγειν ἐπινοοῦντες παντοίως ἐποίκιλλον· ἔνθεν Ἡσίοδος, οἵ τε κυκλικοὶ περιηχημένοι Θεογονίας καὶ Γιγαντομαχίας ἰδίας καὶ ἐκτομὰς, οἷς συμπεριφερόμενοι ἐξενίκησαν τὴν ἀλήθειαν· σύντροφοι δὲ τοῖς ἐκείνων πλάσμασιν αἱ ἀκοαὶ ἡμῶν γενόμεναι καὶ προληφθεῖσαι πολλοῖς αἰῶσιν ὡς παρακαθήκην φυλάσσουσιν, ἣν παρεδέξαντο μυθοποιΐαν, καθάπερ καὶ ἀρχόμενος εἶπον, ἥ τις συνεργηθεῖσα χρόνῳ δυσεξίτητον τὴν κατοχὴν αὐτοῖς εἴρασται, ὥτε τὴν μὲν ἀλήθειαν δοκεῖν λῆρον, τὸ δὲ τῆς ἀφηγήσεως νόθον, ἀλήθειαν.

Β΄.

I. Πρὸς δὲ Σάβιβον ποιήσαντος πόλεμον Τυφῶνος, ἐς τὸ ἴδιον κατέθετο ἐκείνου ἀπορίαν ὁ Δημαροῦς· τῶν δὲ Καβείρων παραγενομένων, εἰς τῆν γῆν ἀποβὰς, τὸν μὲν Σάβιβον ἐνίκησε· τήν δὲ χώραν ὑφ' ἑαυτῷ ποιησάμενος, Ἰούρῳ ἔδωκεν ἀδέλφῳ.

II. Ἀπελθόντων δὲ τῶν Καβείρων, οἱ ἀμφὶ Τάαυτον τῆς ἐπικρατείας ἐπιθυμήσαντες, τὸν δὲ βασιλέα

IX. At vero Græci, homines præ ceteris gentibus politi admodum et elegantis ingenii, primum quidem istorum pleraque sibi tanquam propria vindicarunt; sed cum aures atque animos fabularum voluptate permulcere vellent, novis eadem ac multiplicibus postea commentorum, quasi ornamentorum accessionibus supra modum exaggerarunt. Atque hinc Hesiodus cyclicique poëtæ, quorum fabellis omnia circumsonant, propria sibi quædam Gigantum ac Titanum certamina castrationesque confinxere. Quæ cum illi passim et ubique jactarent, veritatem ipsam oppresserunt. Aures vero nostræ jam inde ab infantia illorum fictionibus assuetæ, et opinionibus per multa sæcula propagatis occupatæ, quam semel accepere fabularum vanitatem, perinde ac depositum aliquod, ut statim ab initio dixi, custodiunt, quod ab ipso tempore vires ac robur acceperit, possessionemque ita confirmavit suam, ut eam excutere longe difficillimum sit, jamque veritas ipsa nugarum, adulterinæ vero ac spuriæ narrationes loco veritatis habeantur.

LIBER SECUNDUS.

I. Cum autem Typho Sabibo bellum inferret, Demaroon Sabibi calamitate usus, Cabiris adjuvantibus, naves ad terram appulit, vicitque Sabibum; regnum autem ejus expugnatum Juro dedit fratri.

II. Cabiri autem cum discessissent, Taauti comites, potestatis cupidi, regem fugarunt, pendentes-

ἐκβαλόντες, τῆς χώρας ἐβασίλευον αὐτοκράτορες· πόλεις δὲ πολλὰς κατοικοῦντες, πολλὴν εἶχον δύναμιν· τὰ μὲν γὰρ αὐτῶν ποίμνια τὰς παρὰ τῇ θαλάττῃ κατεῖχον νομὰς, αὐτῶν δὲ τὰ μεθόρια ἦν ἐν Εἰλώθᾳ. Τααύτῳ δὲ καὶ τοῖς σὺν αὐτῷ ἐπολέμουν πολὺν χρόνον.

III. Ὁ δ' Αμόριος υἱὸς ἦν τῶν Καβείρων. Ἀμορίῳ δὲ παῖδες ἦσαν Σίδιμος καὶ Χίττιος· Χίττιος δὲ ἀνδρὸς Ὀνακύνου θυγατέρας πρὸς γάμον ἀγαγὼν, πέντε ποιεῖται ἐξ αὐτῶν παῖδας· πόλιν δὲ κτίσας Ἄραδον ἔδωκεν Ἀδονίῳ υἱεῖ. Ἀδονίου δὲ ἀδελφοὶ κοιλάδας ποιησάμενοι μεγάλας, ᾤκουν ἐν τῷ ὄρει· οὗτοι οὖν ἐγεννήθησαν Χιττίῳ παῖδες.

IV. Ὁ δ' Ἀμόριος παρὰ Σιδίμῳ ᾤκει πόλιν κτίσαντι Σιδουμίαν τοὔνομα, ἐν αὐλῶνι εὐδαίμονι· ὁ δ' αὐλὼν ὁμοίως ἐκαλεῖτο Σιδίμου· πηγαῖς δ' ἄσφαλτον ἐκφερούσαις κύκλῳ περιείληπται πολλαῖς ἡ τοῦ Σιδίμου πόλις· τὴν μὲν οὖν ἄσφαλτον συλλέγων καὶ ἀγοραίοις πιπράσκων τοῖς εἰς Αἴγυπτον καταβαίνουσι, χρήματα ὁ Ἀμόριος χρηματίζει πολλά.

V. Πολέμου δὲ γενομένου ἐν Αἰγύπτῳ μεγάλου, τὴν δὲ μάχην νικήσαντος Τααύτου, τῶν ἐνοικούντων πολλοὶ ἔφυγον καὶ προδραμόντες τινὲς ἀνθρώπους εὗρον ἄσφαλτον φέροντας εἰς Αἴγυπτον· τούτους δ' ὁδηγοὺς λαβόντες ἐς Σιδίμου αὐλῶνα ἀφίκοντο· ὁ δ' Ἀμόριος ἀγροὺς αὐτοῖς ἔδωκε, πᾶν μὲν φυτὸν οὐ δυναμένους ἐκφέρειν· τῶν δ' Αἰγύπτων διώρυγας ποιησάντων, οἱ ἀγροὶ μετ' ὀλίγον ἦσαν πάμφοροι· μετ'

que a nemine regno præerant. Multas autem habitantes urbes, magna erant potentia, atque cum armentis peragrabant loca ad mare sita; eorum confinia erant apud Ilotham; cum Taauto ejusque sectatoribus diu gerebant bella.

III. Amorius quidam filius erat Cabirorum; eique erant Sidimus et Chittius filii; e quibus Chittius Onacyni viri filias in matrimonium duxit filiosque procreavit quinque; oppidum autem Aradum, quod condiderat, Adonio dedit filio; Adonii vero filii speluncas magnas sibi parantes montes incoluere; hi sunt a Chittio procreati.

IV. Amorius autem in ædibus Sidimi degebat, qui Sidumiam ædificarat oppidum in regione fecunda, et ipsa Sidimi appellata. Oppidum hoc multis cinctum erat fontibus asphaltum gignentibus; asphaltum autem collegit mercatoribusque vendidit iis, qui in Aegyptum proficiscuntur; hoc modo magnas divitias sibi paravit Amorius.

V. Cum autem bellum magnum in Aegypto gereretur, victorque evaderet Taautus, incolarum multi fugerunt; quorum primnm agmen, cum occurrerent hominibus asphaltum in Aegyptum transferentibus, his usi itineris ducibus, in Sidimi venerunt regionem; Amorius vero agros iis dedit steriles, quos Aegyptii, canalem fodientes, brevi reddidere fertilissimos; secum autem apportaverant multas divitias, inter quas eminebant tauri duo aurei digi-

ἑαυτῶν δὲ πολλὰ μὲν ἦγαγον χρήματα, ἐξαιρέτως δὲ δακτυλιαίω ταύρω δύο χρυσοῦ πεποιημένω, οἷς ἦσαν οἱ ὀφθαλμοὶ λιθοκόλλητοι. Τοῦτ' ἀκούων Ἀμόριος προσῆλθε καὶ ἱερὰ τοῖς ταύροις ἰδὼν πεποιημένα, διὰ τίνα, ἔφη, αἰτίαν, ὦ ἄνδρες Αἰγύπτιοι, τούτους εἰσφέρετε θεοὺς τοὺς ἡμῶν ὑβρίζοντας; ἀπολώλαμεν δὴ πάντες ὑπὸ ὀργῆς θεῶν· τῆς δ' ὀργῆς παύσοιντο ἂν οἱ ἡμῶν θεοί, εἰ τοὺς ταύρους καθαιρήσειν διδοῖτε μοι· ὑμῖν δὲ Κρόνον πέμψω καὶ Βααλτίδα καὶ Πόντον, θεούς τε πατρίους καὶ τούτου τοῦ χωρίου προστάτας. Ἐκείνων δὲ μὴ βουλομένων δοῦναι, ὁ Ἀμόριος κατῆλθε δύσθυμος· τοῖς δ' Αἰγυπτίοις ἔδοξε βουλευσαμένοις νυκτὸς ἀποφυγεῖν πρὸς ἡλίου ἀνατολὴν καὶ κατοικῆσαι εἰς Βαράδου χωρίον παρὰ τῷ Εὐφράτῃ ποταμῷ, ὃν ἤκουσαν Νείλῳ ὅμοιον εἶναι· πάντα οὖν συναγόντες, νύκτωρ φεύγουσιν ἅμα τοῖς γυναιξὶ καὶ τέκνοις. Τῇ δὲ ὑστεραίᾳ Ἀμόριος καὶ οἱ περὶ αὐτὸν διώξαντες καὶ πρὶν ἡμέρας ὁδὸν διεληλυθέναι, τοὺς φεύγοντας ἐπικαταλαβόντες, τοὺς μὲν ἄνδρας ἀπέκτειναν, τὰς δὲ γυναῖκας καὶ τέκνα καὶ ταύρους καὶ χρήματα πάντα κατήγαγον ἐς Σιδίμου αὐλῶνα.

VI. Σίδιμος δὲ ἰδὼν ταῦτα τὰ χρήματα βίᾳ ἀφείλετο καὶ τοῦτο χαλεπῶς φέροντα ἐκβάλλει πατέρα· τὴν δ' ἄσφαλτον συλλέγει αὐτός. Ἀμόριος οὖν διασωθέντας λαβὼν τοὺς ταύρους, πρὸς τὸν Χίττιον ἔφυγε καὶ ἐν τῇ πορείᾳ ὑπὸ λιμοῦ θανὼν, Πόντον θεὸν διεμαρτύρησε, τιμωρίαν παρὰ Σιδίμου λαβεῖν. Ὁ δὲ Πόντος τὰς δεήσεις δεξάμενος, τοῦτ' αὐτὸ, ἔφη,

tales, quorum oculi lapidibus erant ornati. Quod cum audivisset Amorius ad eos adiit templumque vidit tauris exstructum. Tum vero Aegyptios interrogavit, qua de caussa Deos secum apportassent, ipsius Diis infestos; omnes certe periimus Diis ira excandescentibus; sed forsan eorum defervesceret ira, si tauros mihi delendos traderetis; vobis autem Saturnum mittam et Baaltidem Pontumque, Deos patrios principesque regionis. Illis autem tradere recusantibus, Amorius discessit iratus; Aegyptiis vero noctu abire placuit Orientem versus atque in regno Baradi considere ad Euphratem sito fluvium, quem similem esse audiverant Nilo. Omnia sua igitur colligentes sub noctem una cum uxoribus et liberis discesserunt. Quum autem dies exoriretur, Amorius ejusque subditi eos persecuti sunt, atque priusquam diei iter emensi erant, invenere profugos; viros interfecere omnes, mulieres veros liberosque et tauros atque omnes divitias secum asportarunt in Sidimi regionem.

VI. Sidimus cum has divitias aspexisset, vi patri eas eripuit, eumque ægre id ferentem expulit civitate atque asphaltum ipse colligebat. Amorius tauros retinuit profugitque ad Chittium; qua in migratione, cum haud multum abesset, quin fame periret, Sidimi punitionem a Ponto petivit Deo, qui, eandem rem, in qua peccavisset Sidimus, exitio

ἐν ᾧ ἐποίησεν ἄδικα, Σίδιμον ταλαιπωρήσει καὶ αὐτίκα τῇ ἀσφάλτῳ πῦρ ἐνέβαλεν· ἐκάετο οὖν τὸ πεδίον καὶ ἀπώλετο ἐν τῷ χωρίῳ πάντα, ὁ μὲν Σίδιμος καὶ τὰ αὐτοῦ τέκνα καὶ πόλις καὶ βοσκήματα, ὥστε διεσώθη οὐδ' εἷς· οὕτως μὲν οὖν δέδυκεν αὐλὼν Σιδίμου· ἔστι δ' ἀντ' ἐκείνου λίμνη, τύφον ἀεὶ ἀναπέμπουσα, ἰχθύων δ' ἔρημος καὶ ἄπλευστος· ἡ δὲ ἀκτὴ δι' ἀκαρπίαν ἀοίκητός ἐστιν· ἐνιαχοῦ δὲ καὶ οὕτως γίνεται ἀβαθὴς, ὥστ' ἂν ἱππεὺς τοὺς πόδας διελάσειεν ἀκατάρδευτος· αὗται δ' αἱ διαβάσεις ἐπίσημοί εἰσι μεγάλαις ἐν τῇ ἀκτῇ στήλαις.

XI. Ἀμμίσου δὲ τελευτήσαντος, Βαλμαχάνης εἰς πατρίδα κατῆλθε καὶ ἐβασίλευε τὰ πάντα ἔτη ἑπτὰ καὶ εἴκοσιν. Ἐπειδὴ δὲ ἀπετελεύτησε, τοῖς Ἀμαθαίοις ἔδοξεν, ἐπανερχόμενον σὺν τῇ στρατιᾷ εἰς τὴν πόλιν ἀποκτενεῖν ἡγεμόνα ἕκαστον, μή τίς ποτε τοιοῦτος τὸ δεύτερον γένοιτο βασιλεύς. Διὰ τοῦτο οἱ ἡγεμόνες οὐκ εἰσῆλθον τὴν πόλιν· ἀλλὰ τῶν αἰχμαλωτῶν τινὰ λαβόντες σὺν τοῖς στρατιώταις εἰσέπεμψαν κεκοσμημένον καὶ τῷ ἄρχοντι τὴν αὐτὴν ἔχοντα ἐσθῆτα· οὗτος οὖν ἐν τῇ πύλῃ ἀντ' ἐκείνου τῆς στρατιᾶς ἄρχων ἐσφάγη. Μόνος δὲ ὁ ἡγεμὼν εἰσελθὼν τῇ ὑστεραίᾳ τὰς τῆς ἀρετῆς παρέλαβε τιμάς. Καὶ τοῦτο ἐν ἔθει ἦν αὐτοῖς πολὺν χρόνον. Διὰ μακροῦ δὲ Βαρίαβας μετὰ τὴν πρὸς τοὺς Γίγαντας μάχην, τὴν βασιλείαν ἔλαβεν, οὐ βίᾳ, ἀλλὰ πολλὰ διδοὺς χρήματα τοῖς στρατιώταις ἐν τῇ καθόδῳ. Τὸ δὲ χωρίον καὶ νῦν ὀνομάζεται λειμὼν τοῦ δεκασμοῦ· οἱ δὲ Ἀμαθαῖοι λέγουσι Κιρσώατα· ἔστι δὲ ἐν τῇ κοίλῃ Συρίᾳ, ἐν ᾧ τύπῳ Μελκάρινος ὁ Σιδόνιος ὑπὸ τῶν Γιγάντων ἐνικήθη. Οἱ δὲ ἐκ Βαριάβα γενεὰν ἔχοντες, εἰς τὸ σήμερον βασιλεύουσι. Τούτου δὲ καὶ τῶν μετ' αὐτὸν τῆς Ἀμαθίας βασιλευόντων, οὐδεὶς δὴ πάντων ἐν πάσῃ Συρίᾳ βασιλέων δυνατώτερος ἦν.

XII. Ὁ δὲ Βεθόβαλος τετταράκοντα ἔτη ἐβασίλευε· μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν οὐδενὸς βασιλέως

nis autem rugitus hostibus timorem injicit. Hæc in libro carminum referuntur.

XI. Cum autem Ammisus obiisset, Balmachanes in patriam rediit regnabatque viginti septem annos. Hoc autem mortuo, Amathæi omnem cum exercitu in urbem redeuntem ducem morte esse afficiendum, constituere, ne forte in posterum talis imperio potiretur. Hanc ob caussam duces urbem non inivere, sed inter captivos unum elegerunt ac ducis vestibus ornatum cum exercitu in urbem immisere, ubi portam ingressus cum exercitu, imperatoris loco trucidatus est. Solus autem postridie in urbem se contulit dux ipse, ac virtutis accepit præmia, quod quidem diu apud eos in usu erat. Longo autem tempore post Bariabas post prœlium contra Gigantes commissum, regno potitus est, haud vi, sed in reditu milites multa corrumpens pecunia. Locus autem etiamnum pratum corruptionis nominatur, lingua vero Amathæorum Cirsoata, et in Cœlesyria situs est, ubi Melcarinus Sidonius a Gigantibus est victus. Qui autem a Bariaba originem ducunt, ad hunc usque diem regnant. Hoc vero iisque, qui post eum Amathiæ regnabant, nemo omnium in tota Syria regum majoris erat potentiæ.

XII. Bethobalus autem quadraginta regnabat annos; post ejus mortem, cum diu nulli essent re-

γενομένου συχνὸν χρόνον, Σέμφος καὶ Πασοῦργος τοῖς Βυβλίοις ἐπέκειντο, ἀδελφοὶ γενόμενοι, τὴν πατρίδα Αἰγύπτιοι. Φυγάδες γὰρ εἰς τὴν τῶν Κεράτων ἀνῆλθον χώραν· τεθνεῶτος δ' ὑπ' αὐτῶν τῶν Κεράτων ἄρχοντος, εἰς τὴν ὀρεινὴν κατέφυγον. Ἐντεῦθεν δ' εἰς τὴν μεταξὺ Βύβλου καὶ Βηρυτοῦ ἐρημίαν ἀφίκοντο· Σκόπελον οὖν ἀνευρόντες κύκλῳ περιειλημμένον βαράθρῳ ἀνεμβάτῳ, περιετείχισαν, τῆς προσβάσεως ἀποκωλύσοντες τοὺς ἐχθρούς· ὡς οὖν ὁ διαβῆναι καὶ αὐτοῖς ἐπιχωρῆσαι δυνάμενος οὐδεὶς ἦν, πώλους ἀναβάντες θυμοειδεῖς τε καὶ ὑπερπηδᾶν παιδευτοὺς, ἀκινδύνως ἐκεῖνοι διεκομίζοντο. Ἀνὰ πᾶσαν οὖν ἡμέραν τοῖς παρερχομένοις ἐπιβουλεύοντες, τοὺς καταληφθέντας ἀπέκτεινον καὶ ἐσκύλωσαν· εἶτα δ' ἀπήλασαν εἰς τὸ περιτείχισμα. Παρθένον μὲν οὖν ἰδόντες καλλίστην, ἐγγὺς τῆς πόλεως βίᾳ ἀφείλοντο· ἀλλ' ἐν τῇ ἀνόδῳ πρὸς ἀλλήλους ὑπὲρ τῆς παιδὸς ἐφιλονείκησαν. Ὡμολόγηται δ' αὐτοῖς, ὅτι αὐτῆς κληρονομοῦσιν. Ἡ δὲ παρθένος ἐλάσασα ἔτυχεν τῷ τοῦ Σέμφου ἵππῳ· ἀποβάντων οὖν καὶ ὑποχωρησάντων τι ἐκείνων, τοῦ χαλινοῦ λαβοῦσα καὶ ἑτέρου τοῦ ἵππου, ἀπὸ ῥυτῆρος πόλιν ἐσήλασεν· ἐκπλαγέντες δ' ὁ Σέμφος καὶ Πασοῦργος πρὸς αὐτὴν ἀνέβλεψαν. Οἱ δ' ἐν τῇ πόλει, τῆς παιδὸς ἀκούσαντες δόλον, πάντες ἠθροίζοντο, τοὺς λῃστὰς περικυκλεύσοντες· ζῶντας δ' ἑλόντες, ἐν τῇ τῆς πόλεως πύλῃ ἔσφαξαν. Ἡ δὲ παρθένος ἐκαλεῖτο Ἀδραμοῦσα· ἄνδρας δ' ἔτεκεν εἰς πόλεμον καλοὺς καὶ τῶν Βυβλίων ἄρχοντας. Τοῖς

ges, Semphus et Pasurgus fratres ex Aegypto oriundi Byblios vexabant. Exsules enim in regionem venere Ceratorum. Cum autem Ceratorum regem occidissent, in montes confugere. Inde in desertum sese contulerunt, quod inter Byblum est situm atque Berytum. Rupem ibi invenere, barathro cinctam invio, quam communiverunt, ut hostes ab accessu impedirent. Quo factum est, ut qui transire posset, eosque aggredi nemo reperiretur. Equos vero conscendebant feroces atque ad transsiliendum idoneos, tutique barathrum trajiciebant. Per totos dies prætereuntibus insidiabantur, captosque trucidarunt ac diripuere; deinde in arcem suam rediere. Viderunt etiam virginem magna præditam pulchritudine atque prope urbem vi abstulerunt. Sed redientes de virgine litigaverunt. Constituunt igitur, ad sortem revocare, cui puella futura sit. Virgo autem forte Semphi equo vecta, descendentibus illis, paullulumque secedentibus, habenam etiam alterius equi arripuit, frenoque remisso in urbem equitavit. Semphus autem et Pasurgus attoniti oculis eam sunt prosecuti. Hoc de virginis facinore certiores facti, cives omnes convenere, ut latrones obsiderent. Quos cum comprehendissent vivos, ante urbis trucidavere portam. Virgini huic nomen erat Adramusæ. Viros autem genuit animo præditos bellicoso, Bybliorumque reges. Equi autem appellabantur Dolixurus et

δ' ἵπποις ἦν ὀνόματα Δωλιξοῦρος καὶ Μῖρα (Δωλιξοῦρος γάρ ἐστιν αὐτοῖς ὁ ὑπερπηδῶν τὸ τεῖχος. Μῖραν δ' ὀνομάζουσι πόδας ὠκεῖαν). Οἱ δὲ γεγονότες ἀπ' αὐτῶν ἵπποι καὶ νῦν λέγονται ἐλαφρόποδες εἶναι θαυμαστοὶ ὅσοι. Οἱ δὲ Ἀδραμούσης παῖδες ἵπποις ἐποχώτατοι. Τὸ μὲν οὖν περιτείχισμα συμπέπτωκεν· ἀλλ' ἔστι καὶ νῦν ἰδεῖν τὸ βάραθρον. Ἡ δὲ χαράδρα στενωτάτη τὸ εὖρος ὡς πέντε καὶ εἴκοσιν ἔχει πόδας. Τούτου δὲ τοῦ τόπου καταντικρύ ἐστιν ἡ τοῦ ἐρύματος πύλη. Τούτων οὖν ἕνεκα ὁ πύργος τῶν Αἰγυπτίων κέκληται σκόπελος. Ταῦτα πάντα ἐν ταῖς τῆς Ναμᾶς γέγραπται ᾠδαῖς.

XIII. Μετὰ ταῦτα οὐκ ἦν βασιλεὺς ἐν τῇ πόλει τῶν Βυβλίων πολὺν χρόνον· ἄνδρες δέ τινες πλούσιοι τοὺς Βυβλίους ἐχλεύαζον, τοὺς μὲν ἐκβαλόντες, τοὺς δ' ἀποκτείναντες. Οἱ δὲ Βύβλιοι ἀθυμότατα εἶχον, οὐδενὸς δίκην ὑπὲρ τῆς ἐκείνων ὑπερηφανίας λαβεῖν τολμῶντος. Γήρῳ δὲ, ἀνδρὶ εἰρηνικῷ, ἥμερος ἦν ὄρυξ, ὃν Βάριδι, τῶν μέγα φρονούντων γενομένῳ, παραδοῦναι οὐκ ἠθέλησεν αἰτήσαντι. Πολλῶν δὲ παραγενομένων, τὴν ὀργὴν κατεκρύψατο Βάρις· τῇ δὲ ὑστεραίᾳ σὺν τοῖς ἀμφὶ αὐτὸν τὴν τοῦ Γήρου εἰσελθὼν οἰκίαν, Γῆρόν τε, ἐν κλίνῃ διάγοντα, καὶ δοῦλον αὐτῷ βουλόμενον βοηθῆσαι, ἐφόνευσεν. Εὔνοιαν δ' ἔχοντος πολλὴν τοῦ Γήρου παρὰ πᾶσιν, ὁ φόνος πολλὴν ἐποίησε τῶν πολιτῶν ταραχήν· νυκτὸς δὲ συνελθόντες οἱ Βύβλιοι ἐκείνους ἐξέβαλον ὑβρίζοντας καὶ μέγα φρονοῦντας.

Mira. (Dolixurum enim appellant eum, qui murum transsilire potest, Miram autem celeripedem). Qui autem ab his equis originem ducunt, etiamnum pedibus celerrimi esse dicuntur, Adramusæ autem progenies equitandi peritissima. Munimenta quidem jam corruerunt; sed barathrum ad hunc usque cernitur diem patetque angustissimo loco viginti quinque pedes in latitudinem. E regione autem est arcis porta. His de caussis turris nominatur Aegyptiorum rupis. Omnia vero hæc descripta sunt in carminibus Namæ.

XIII. Post hæc per longum tempus nemo erat in urbe Bybliorum rex. Sed viri nonnulli divites Byblios vexabant, alios civitate ejicientes, alios trucidantes. Byblii autem erant animo demisso, cum nemo inveniretur, qui illorum superbiam punire esset conatus. Gero autem, viro pacis amanti, erat oryx mansuetus, quem Baridi, superborum illorum uni, dare noluit poscenti. Multis præsentibus, Baris iram celavit; postridie vero cum suis in domum Geri ingressus, et Gerum interfecit in lecto jacentem et servum, domino auxilium ferre conatum, Geri autem, qui maximam sibi civium conciliaverat gratiam, cædes magnam in urbe seditionem excitavit. Byblii enim noctu convenere, atque superbos illos et insolentes civitate ejecerunt.

XIV. Πολὺν οὖν ἐπολέμουν χρόνον πρὸς ἀλλήλους, οἱ μὲν ἐπανελθεῖν σπουδάζοντες, οἱ δ' αὐτοὺς ἀμύνοντες· καταφυγόντες οὖν πρὸς τὸν τῶν Σιδονίων βασιλέα τὸ πρῶτον μὲν οἱ ἐκπεσόντες ἐς κενὸν ἐσπούδαζον ἐπανελθεῖν· χρόνῳ δ' αὐτοῖς παρεδόθη ἡ πόλις. Νυκτὸς μὲν γὰρ παραγενόμενοι, τοῦ δὲ προδότου δᾷδα προσφέροντος, διὰ τῶν πυλῶν ῥᾳδίως εἰσῆλθον. Ἐνταῦθα μὲν οὖν τῶν πολιτῶν πολλοὶ μὲν ἀπέθανον, πολλοὶ δ' ἀπέφυγον. Τὸ δὲ τελευταῖον οἱ Βύβλιοι βασιλέα εἵλοντο Ἰάβιδα, τὸν Ἀδραμούσης τῆς ἀγαθῆς πρωτότοκον. Οὗτος δὲ πρῶτος μετὰ τὴν Βεθοβάλου τελευτὴν ἐβασίλευεν. Ἀποθανόντος γὰρ τοῦ Βεθοβάλου, εἴκοσιν ἐτῶν χρόνῳ οὐδεὶς ἦν ἐν Βυβλίοις βασιλεύς. Ἰαβίδου δὲ βασιλεύοντος, οἱ Αἰγύπτιοι πολλοὺς ἐπολέμουν καὶ δεινοὺς πολέμους.

XV. Μετὰ μὲν γὰρ Τααύτου τελευτὴν, ἀποθανόντων δὲ καὶ τῶν ἐκ Τααύτου γενομένων, οἱ τῶν Αἰγυπτίων βασιλεῖς τοῖς παρὰ τῇ θαλάττῃ ποιμέσι μαχόμενοι ἐνικήθησαν. Ἀναιρεθέντων δὲ ἐν μάχῃ πολλῶν, οἱ περιγενόμενοι εἰς μεγάλην πόλιν κατέφυγον, πολιορκηθέντες ὑπὸ τῶν ποιμένων. Ἐσχάτως δὲ διέκειντο, ὥστε καὶ πολλοὶ ἔθανον λιμῷ. Ταύτης οὖν ὑπαρχούσης ἀπορίας, τὰ ἅρματα τὰ πολεμικὰ καὶ δρεπανηφόρα ἀνευρὼν ἱερεύς τις πρὸς τὸν βασιλέα ἐξήνεγκεν. Ὁ δὲ βασιλεὺς ἑκατὸν παρασκευάζων ἅρματα, ἐν βραχεῖ τοὺς πολεμίους ἐνίκησεν. Ἀναλαβὼν δὲ πᾶσαν, ἣν εἶχε Τάαυτος χώραν, τοὺς ποιμένας ἐξέβαλε πάντας. Οὐ μὴν ἀλλὰ τὸ παρὰ τῇ θαλάττῃ

XIV. Diu bellum inter eos gerebatur, cum illi in urbem redire studerent, cives autem eos propellerent. Confugerunt igitur ad regem Sidoniorum et primo quidem in urbem redire frustra conati sunt; mox vero urbs iis prodita est; noctu enim advenere et proditor facem iis prætulit ita ut facile urbem inire possent. Tum autem multi cives aut periere aut fugere. Postremo Byblii Jabidem crearunt regem, Adramusæ fortis illius virginis, filium natu maximum. Hic post Bethobali mortem primus regnavit. Mortuo enim Bethobalo per viginti annos interregnum erat in urbe Bybliorum. Jabide vero regnante, Aegyptii multa gessere bella crudelia.

XV. Mortuo enim Taauto iisque, qui ab eo originem duxere, Aegyptiorum reges, cum bellum contra pastores ad mare degentes gererent, devicti sunt. Plurimi in prœlio periere. Qui autem effugerant, in magnam sese contulere urbem, ubi a pastoribus obsessi sunt. Versabantur autem in maxima miseria, ita ut multi etiam fame perirent. Cum autem omnium rerum inopia premerentur, sacerdos quidam currus falcatos invenit regique indicavit hanc rem. Rex vero centum currus instruxit, brevique hostes devicit, omnemque, quæ Taauto fuerat, regionem recuperavit, pastoresque ejecit omnes. At vero arcem ad mare sitam inexpugnabi-

ἀποτείχισμα δυσάλωτον οὐκ ἐξεπολιόρκησεν. Οὕτως οὖν ἐν τοῖς πρῶτοι ἐχρήσαντο ἅρμασι πολεμικοῖς οἱ Αἰγύπτιοι.

XVI. Μάχῃ οὖν ἡττώμενοι ὑπὸ τοῦ βασιλέως οἱ ποιμένες ἐξ Αἰγύπτου κατέφυγον. Τῶν μὲν οὖν φυγάδων οἱ πλείους τῇ Ἀραβίᾳ ἐνῴκουν. Ἐνταῦθα μὲν γὰρ ἀνθρώπων ἔρημα ἦν χωρία πολλὰ, τοῖς δὲ βοσκήμασιν ἱκαναὶ νομαί. Τούτων δ' ἄρχοντες ἦσαν Ὅμλακος καὶ Ἰδούμας καὶ Ἀμὼν καὶ Μῶβος, ὧν οἱ ἔκγονοι καὶ νῦν βασιλεύουσι τῶν Ὀμλακύνων καὶ Ἰδουμαίων καὶ Ἀμωναίων καὶ Μωβαίων· πολλοὶ δὲ καὶ εἰς τὴν τῶν Κεράτων χώραν ἀνῆλθον καὶ εἰς τὴν ὀρεινὴν πρὸς τοὺς Γίγαντας καὶ σπονδὰς ἐποιήσαντο. Πολλὰς δὲ περιτειχίσαντες πόλεις πολὺν χρόνον τὰ περὶ τὰ ὄρη κατῴκουν. Ἅρματα δ' ἔχοντες καὶ ἵππους φόβον ἐνεποίησαν πᾶσι τοῖς πλησιοχώροις. Γένος δὲ ἐξ αὐτῶν ἔχουσιν οἱ Ἀσίβουνοι καὶ Ἰνδαυροί. Πάντα ταῦτα ἐν τῷ τοῦ Τααύτου γέγραπται βιβλίῳ.

XVII. Φυγὼν δὲ καὶ Δαμάσκων τὸ πρῶτον μὲν τῶν Κεράτων ἀπῴκισε χωρίον, τῶν Ὀνακύνων δεξάμενος τὴν ξυμμαχίαν. Ἀπελθὼν δὲ εἰς Συρίαν Δαμασκὸν πόλιν περιετείχισε. Σέμφος δὲ καὶ Πασοῦργος φυγάδες ἀπέθανον ὑπὸ τῶν Βυβλίων. Οὗτοι οὖν ἐξ Αἰγύπτου κατέφυγον. Τελευταῖοι δὲ Ἰούδας καὶ Σομυρὼν ἀνέβησαν, βασιλεύοντος τῶν μὲν Σιδονίων Κισλῶντος ὁ Νασούκου, τῶν δὲ Τυρίων Ναδόβου, τῶν δ' Ἀραδίων Ὄβρου Κασπίου, τῶν δ' Ὀνακύνων Δωτρέπου. Τοῖς δὲ Βυβλίοις τούτῳ τῷ χρόνῳ βασιλεὺς

lem non expugnavit. Hoc modo factum est, ut Aegyptii omnium primi curribus falcatis usi sint.

XVI. Victi in prœlio ab rege pastores Aegyptum reliquere, pluresque Arabiam incoluere, ubi magni tractus ab hominibus non habitati erant, armentisque agri pascui. Horum autem duces erant Omlacus, et Idumas et Amon ac Mobus, quorum proles etiam nostris temporibus Omlacynis imperant atque Idumacis et Amonæis et Mobæis. Multi etiam in Ceratos migraverunt atque in montanas regiones ad Gigantes ac fœdera fecerunt. Multa sibi muniere oppida ac diu montes incolebant. Cum autem equos et currus haberent, magnum injecerunt timorem omnibus finitimis. Originem ab iis ducunt Asibuni atque Indauri. Omnia hæc in libro Taauti descripta sunt.

XVII. Inter exsules etiam Damascon erat, qui primo Ceratorum incoluit regionem, fœdusque fecit cum Onacynis. Abiit vero in Syriam atque urbem Damascum condidit. Semphus et Pasurgus exsules a Bybliis interfecti sunt. Hi sunt, qui ex Aegypto confugere Judas vero et Somyron emigrarunt, regnantibus in Sidonios Cislonte Nasuci filio, in Tyrios Nadobo, in Aradios Obro Cospio, in Onacynos Dotrepe. Byblii autem eodem tempore rege

ἦν οὐδείς. Οἱ δὲ Ἰουδαῖοι καὶ οἱ Σομυραῖοι τὸ χωρίον ᾤκουν τὸ κατ᾽ Ἰδουμαίαν.

Δ'.

---

1. Ὅσα μὲν δὴ ἔπραξαν ὁ Λεοντοῦργος καὶ οἱ μετ᾽ αὐτὸν βασιλεῖς, καὶ ὅσα ἐγένετο παρὰ τοῖς Βυβλίοις, οὐδενὸς βασιλέως συχνὸν χρόνον γενομένου, καὶ ὡς ἐκβληθέντες οἱ ποιμένες οἱ Αἰγύπτιοι κατέφυγον εἰς Ἀραβίαν καὶ Φοινίκην, ἐν τῷ λόγῳ τῷ τρίτῳ εἴρηται. Σαγχουνιάθων δὲ οὕτως διατελεῖ ἐξηγούμενος. Τούτῳ τῷ χρόνῳ οἱ νησιῶται ἄγοντες καὶ φέροντες ἐξέβησαν, καὶ πόλεις ἐκπολιορκήσαντες τὰς ἐπιθαλαττίους, οἷς μὲν Κρόνου ἐνέτυχον ἱεροῖς, καθεῖλον. Βάρκας δὲ ὁ Βεθατάβαν καταστήσας, πολλὴν ἤθροιζε στρατιὰν, ὡς καὶ εἰς αὐτοῦ χωρίον ἐμβάλλουσιν ἐπιχειρήσων. Δέκα δ᾽ αὐτῷ ἐβοήθησαν βασιλεῖς. Ἀλλ᾽ ἐσφάγη ἐν τῇ μάχῃ αὐτὸς ὁ Βάρκας καὶ πάντες οἱ ξύμμαχοι. Ἡ δὲ μάχη ἐν τῷ παρὰ Βεθατάβᾳ ἐγένετο πεδίῳ, ἔνθα καὶ νῦν τῶν βασιλέων τάφον ἰδεῖν ἐστίν. Οἱ οὖν Βύβλιοι, ἐπεὶ τὰ ἐν Βεθατάβᾳ ἔμαθον ἀτυχῶς γινόμενα, τὴν ταχίστην τὰ ὅπλα παρεσκεύασαν. Καὶ γὰρ οἱ πολέμιοι φανεροὶ ἤδη ἦσαν τὸ πεδίον διαδραμόντες, ὡς ἐπιθησόμενοι τῇ πόλει. Οἱ δὲ Βύβλιοι σφαγὴν ἐποίησαν πολλὴν τῶν πολεμίων, Ἰάβιδος παραδείγματι χρώμενοι, τὰς τῶν νησιωτῶν ταράξαντος τάξεις· τὸ δὲ τελευταῖον τρωθεὶς Ἰάβις ἐκάθητο ἐν

carebant. Cæterum Judæi et Somyræi regionem incoluere Idumæorum.

LIBER QUARTUS.

I. Res gestæ Leonturgi eorumque, qui post eum regnavere, ac Bybliorum facinora, per longum tempus nemine imperante, sicut et coloniæ a pastoribus Aegypto pulsis in Arabia et Phœnicia constitutæ, in libro tertio descriptæ sunt. Sanchuniathon vero his verbis narrare pergit. Eodem tempore ferentes agentesque insulani appulerunt, urbesque ad mare sitas expugnavere, ac Saturni sacra, ubi invenere, corruperunt. Barcas autem, Bethatabæ urbis conditor, magnum instruxit exercitum, ut in ipsius etiam fines irrumpentibus occurreret, atque ad suum exercitum decem regum adjunxit copias auxiliares. Sed cum manus consererent et Barcas ipse et omnes fœderati interfecti sunt. Prœlium hoc est commissum in agro Bethatabæorum, ubi etiam nostris temporibus regum conspiciuntur sepulcra. Byblii autem, cum reges ad Bethatabam victos esse audivissent, quam celerrime arma parabant. Hostes enim jam per campum appropinquarunt, ut urbem aggrederentur. Byblii vero magnam hostium edidere cladem, Jabidis usi exemplo, insulanorum perturbantis ordines. Postremo autem vulneratus silici insedit,

χάλικι, ὃν ἰδεῖν καὶ νῦν ἐστὶν αἱματόεντα· καθημαγμένον δὲ τὸ χωρίον περικείμενον ἐγένετο ἀείζωον. Ἐν ταύτῃ τῇ μάχῃ τῶν πολεμίων ἀνῃρέθη μυριάς. Ἴαβις δὲ ἱερὸν τῷ Κρόνῳ καθίδρυσεν ἐν ᾧ πεδίῳ ἡ μάχη ἐγένετο, ἐγγὺς τοῦ τῶν Αἰγυπτίων περιτειχίσματος. Ἑξήκοντα δὲ βασιλεύων ἔτη, ἀπέθανε μάλα πρεσβύτης.

II. Μετὰ δὲ τὴν τοῦ Ἰάβιδος τελευτὴν, Βίμαλος ὁ τῶν Σιδονίων βασιλεὺς υἱὸν ἔπεμψε Ῥάβωθον τοῖς Βυβλίοις, τὸν παῖδα ἑλέσθαι ἄρχοντα αὐτοὺς ἀξιῶν, ὡς Βαράδωδον ἤδη ἐποίησε τῶν Βηρυτίων βασιλέα. Τῶν μὲν γὰρ Βηρυτίων ἀποθανόντος βασιλέως, τῶν δ' ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους περὶ τοῦ βασιλικοῦ ἀξιώματος, Βίμαλος υἱὸν εἰς τὴν πόλιν κατέπεμψε Βαράδωδον βασιλέα. Τῶν δὲ πολιτῶν αὐτὸν δέξασθαι μὴ βουλομένων, οἱ Σιδόνιοι τὴν πόλιν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν πολιορκήσαντες, ὑφ' ἑαυτοῖς ἐποίησαν τὸ χωρίον, Βαράδωδον δὲ κατέστησαν βασιλέα τῶν Βηρυτίων. Ὁ μὲν δὴ Βίμαλος Ῥάβωθον ἔπεμψε τοῖς Βυβλίοις· οἱ δὲ Βύβλιοι τῆς μὲν τῶν Βηρυτίων μνημονεύσαντες καταδουλώσεως, τὸν δὲ στόλον ἰδόντες τῶν Σιδονίων καὶ τῶν Βηρυτίων ἐπελθόντα, ἀσμένως ἐδέξαντο ὃν Βίμαλος ἔπεμψε βασιλέα σφίσιν, οὐδὲν ἀντιλέγοντες. Ῥάβωθος δὲ δορυφόρους ἔχων εἰσήλασε χιλίους Σιδονίους. Ἐβασίλευε δὲ τῶν Βυβλίων ἔτη τριάκοντα.

III. Λιμοῦ δὲ γενομένου ἀνὰ πᾶσαν μὲν τὴν χώραν μεγάλου, μάλιστα δὲ ἐν ταῖς παρὰ τῇ θα-

qui etiamnum cruentus conspicitur; loca autem circumjacentia, ejus sanguine adspersa, semper virent. In hoc prœlio decem millia hostium interfecti sunt. Jabis Saturno templum exstruxit in eo campo, ubi prœlium commissum est, haud procul ab arce Aegyptiorum. Cum autem sexaginta regnasset annos, obiit in extrema senectute.

II. Jabide mortuo, Bimalus Sidoniorum rex Rabothum filium Bybliis misit, postulavitque, ut eum regem sibi crearent, sicut jam Baradodum fecerat Berytiorum regem. Rege enim Berytiorum mortuo, civibusque inter se de regno certantibus, Bimalus Baradodum filium iis misit regem. Quem cum cives nollent excipere, Sidonii urbem terra marique obsidebant, regionemque illam expugnantes, Baradodo regnum tradidere. Bimalus igitur Rabothum misit Bybliis; Byblii autem Berytiorum memores subactionis exercitumque videntes Sidoniorum et Berytiorum appropinquare, sponte exceperunt quem iis miserat regem Bimalus, nemine contradicente. Rabothus autem urbem intravit cum agmine mille Sidoniorum hastatorum. Penes eum erat imperium triginta annos.

III. Maxima cum totus hic tractus premeretur fame, præcipue oppida ad mare sita, Bimalus colo-

λάττῃ πόλεσιν, ὁ Βίμαλος ὡς δύο ἡμερῶν ὁδὸν Βύβλου ἀπέχουσαν ἐποιήσατο ἀποικίαν, Ἄραδον καλουμένην ἀπ' Ἀράδου, τοῦ Βιμάλου παιδὸς, ὃν κατέστησε τῆς πόλεως βασιλέα. Τοὺς δὲ τὸν Λίβανον κατοικοῦντας ὑφ' ἑαυτῷ ποιησάμενος Γίγαντας, Βίμαλος τοῦ Λιβάνου καὶ τῆς κοίλης Συρίας Μελκάριμον ἀπέδειξεν ἄρχοντα, τὸν τῆς θυγατρὸς ἄνδρα. Οὕτως οὖν ἐπεκράτει Βίμαλος πάντων τῶν παραθαλαττίων τε καὶ πάσης τῆς μέχρι τοῦ Ὀρόντου ποταμοῦ μεσογαίας. Τοῦτο δὲ ἰδὼν ὁ τῶν Τυρίων βασιλεὺς, γέρων ἤδη καὶ ἄπαις γενόμενος, ἑκὼν τῷ νεωτάτῳ Βιμάλου παιδὶ τὴν Τύρου ἀρχὴν ἐπιτρέψοντας ἀπέστειλεν. Οὗτοι δὲ παρά τε τὴν θάλατταν καὶ ἐν τῇ μεσογαίᾳ βασιλεῖς πάντες ἦσαν ὑπὸ Βιμάλῳ.

IV. Πολλὴν καὶ στρατιὰν προήλασε Βίμαλος, ὡς τὴν Ἀμαθίαν ἐκπολιορκήσων, διὰ τὸ τοὺς Ἀμαθαίους συνεργοὺς γεγονέναι τοῖς Μελκαρίμου ἀποστᾶσιν ἐν τῇ κοίλῃ Συρίᾳ· μυριάδα οὖν ἔχων ἐξῆλθε τῶν Σιδονίων. Συνεστρατεύοντο δὲ ἐν ταύτῃ τῇ ἀναβάσει τῶν μὲν Τυρίων ὀκτακισχίλιοι, τῶν δὲ Βηρυτίων τρισχίλιοι, τῶν δὲ Βυβλίων ἑξακισχίλιοι, τῶν δ' Ἀραδίων δισχίλιοι· παρῆσαν δὲ καὶ χίλιοι ἐκ τῶν νήσων τοξόται· οἱ δὲ Ὀνακύνοι ἑκατὸν συνεπέστειλαν ἅρματα. Διέβη οὖν τὸ ὄρος τρεῖς ἔχων μυριάδας, ὡς τοῖς Ἀμαθαίοις ἐξαίφνης ἐπιχειρήσων ἐν τῷ πεδίῳ ἀντιστρατοπεδευομένοις. Ἐβοήθησαν δὲ τοῖς Ἀμαθαίοις ἐξ ἁπάσης τῆς Συρίας, αἱ πᾶσαι ὡς πέντε μυριάδες, καὶ σφόδρα κατεφρόνουν τοῦ Βιμάλου. Τῶν

nos deduxit in coloniam quæ duorum iter dierum a Byblo aberat, et cui nomen Aradi erat, ab Arado, Bimali filio, quem oppidi constituerat regem. Subegit Bimalus etiam Gigantes, qui Libanum incolebant, Melcarimumque generum et Libani et Coelesyriæ regem reliquit. Hoc modo Bimalus omnibus imperabat oppidis ad mare sitis et terris mediterraneis usque ad Orontem amnem. Quod ut vidit Tyriorum rex, jam senex, liberisque orbatus, sponte legatos misit, qui Tyri regnum filio Bimali natu minimo offerrent. Omnes vero hi reges in urbibus et maritimis et mediterraneis Bimalum habebant dominum.

IV. Bimalus etiam magnum exercitum eduxit in obsidionem Amathiæ, quia Amathæi iis miserant auxilium, qui in Cœlesyria defecerant a Melcarimo. Ipse secum habebat decem millia Sidoniorum. In auxilium ei venere in hac expeditione octo millia Tyriorum, tria millia Berytiorum, sex millia Bybliorum, duo millia Aradiorum. Aderant etiam mille sagittarii ex insulis; centumque currus miserant Onacyni. Montem igitur cum triginta millibus armatorum trajecit, ut ex improviso impetum faceret in hostes, qui castra posuerant in planitie. Amathæis autem ex tota Syria in auxilium venere quinquaginta circiter millia virorum, et Bimalum valde contemnebant. Cum autem currus falcati, quos Ona-

δὲ ἁρμάτων τῶν δρεπανηφόρων, ἃ ἧκον ἄγοντες οἱ Ὀνακύνοι, πολλὴν ποιησάντων σφαγὴν, ἀνὰ κράτος ἔφυγον, δραμόντες δὲ, εἰ μὴ εἰς τὴν αὐτῶν διασωθέντες πόλιν, οὐκ ἐπαύσαντο. Ἐν ταύτῃ τῇ μάχῃ μύριοι ἀνῃρέθησαν τῶν πολεμίων, συνελήφθησαν δὲ ἑξακισχίλιοι καὶ μύριοι· τὰ δὲ σκῦλα ἦν θαυμαστὰ ὅσα. Ἀμαθίᾳ δ' ἐπιστρατευσάμενος ὁ Βίμαλος τῷ Μελκαρίμῳ πάσης τῆς ἐπὶ τάδε χώρας παραχωρῆσαι ἐβιάσατο τὸν βασιλέα. Δαμάσκοντι δὲ τῷ τῶν Ὀνακύνων ἡγησαμένῳ ξυμμάχων, ἀπένειμεν ἐν ᾧ πεδίῳ ἐγένετο ἡ μάχη. Δαμάσκων δὲ πόλιν περιετείχισε Δαμασκὸν πολυάνθρωπον καὶ εὐδαίμονα. Μετὰ ταῦτα ἕκαστος οἴκαδε κατῆλθε. Τὴν δὲ μάχην καὶ νῦν ὑμνοῦσι.

V. Δαμάσκων δ' ὁ ἡγησάμενος ἁρμάτων τῶν δρεπανηφόρων τὴν πατρίδα ἦν Αἰγύπτιος. Ἐκπίπτων δὲ ἅμα σὺν τοῖς ἀμφὶ αὐτὸν πρὸς τοὺς Ὀνακύνους κατέφυγεν, ἔνθα Καράνῳ ἦλθεν εἰς ἔχθραν τῷ Κεράτῳ, Γάζης βασιλεύσαντι. Δαμάσκων γὰρ ἀκούων, ὅτι ὁ ἀδελφὸς ἀπώλετο ἐν τῷ ὄρει, πρὸς τὸν κατασφαγέντα ἀνῆλθε δακρύων καὶ θρῆνον ποιούμενος· Φωνὴ ἀνδρὸς τὴν ὕλην διηχεῖ ἀδελφὸν ὀδυρομένου ἀναιρεθέντα· αἱ μὲν κορυφαὶ τοὺς θρήνους αἰσθάνονται, ἀντηχοῦσι δὲ αἱ πέτραι. Ἐγείρου ὦ ἀδελφέ· οὐ μὲν γάρ ἐστιν ἡ τοῦ ὕπνου ὥρα· ἴωμεν δὴ τὴν μητέρα παραμυθεῖσθαι. Ἀλλ' οὐκ ἀκούει ἀναβοῶντός μου, δακρύοντα δ' οὐ βλέπει. Ἥκει μὲν παῖς λέγων· ὅ ἀδελφός σου ὑπὸ τῷ ὄρει ἐγένετο θηρόβρωτος· προσελθὼν

cyni secum adduxerant, maximam cladem ederent, quam celerrime fugerunt, nec fuga abstinuere, nisi in urbem suam advenientes. Hoc in prœlio hostium decem millia sunt trucidati, sedecim millia capti; prædæ autem magnitudo fidem excedit. Amathiam deinde aggressus Bimalus regem coëgit, ut Melcarimo totius citerioris possessione regionis cederet. Damasconti autem, qui Onacynorum adduxerat copias auxiliares dedit agrum, ubi prœlium commissum est, et Damascon Damascum urbem condidit maximam ac celeberrimam. Post hæc domum quisque revertit; prœlium autem hoc etiamnum carminibus celebratur.

V. Damascus vero curruum falcatorum dux ex Aegypto erat oriundus. Exsul autem cum suis comitibus ad Onacynos confugit, ubi inter eum et Caranum Ceratum, Gazæ regem ortæ sunt inimicitiæ. Damascon enim ubi fratrem in montibus trucidatum esse audivit, ad mortuum adscendit lacrymans, neniamque faciens: Sylvam personat vox viri, qui fratris casum miseratur; montis cacumina audiunt nenias, rupesque resonant. Surge o Frater; non enim somni est tempus. Eamus, ut matri solatium afferamus. Sed neque me vocantem audit, neque respicit lackrymantem. Venit ad me puer, frater tuus, dicens, in montis radicibus à feris est devoratus. Sed accedens inveni in facie vulnus,

δ' εὑρίσκω διαῤῥωγὴν ἐν τῷ μετώπῳ, μαχαίρας πληγήν· τὸν δὲ φονεύσαντα οὐκ ἀγνοῶ. Σὺ γὰρ ὦ Κάρανε διέλαβες ξίφῳ τὸν ἄνοπλον. Ἐμὲ δ' εὑρήσεις ἐν ὅπλοις ὄντα. Μετὰ ταῦτα θάψας τὸν ἀδελφὸν, τοὺς Ἀμαραίους καὶ Ὀνακύνους ἤθροιζε καὶ ἐπὶ τοὺς Γαζαίους ὁρμήσας, ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ Κάρανον εἰς φυγὴν ἔτρεψεν. Ἅρματα γὰρ ἔχων τὰ δρεπανηφόρα πολλοὺς ἀπώλεσε τῶν ἀντιπάλων, πολλοὺς δὲ καὶ κατέλαβε· τὰ δὲ ἅρματα μεταπεμψάμενος ἐξ Αἰγύπτου, φόβον ἐνεποίει πᾶσι τοῖς περιοικοῦσι. Πρῶτος γὰρ ἅρματα εἶχε δρεπανηφόρα πάντων τῶν ἐν Φοινικίᾳ καὶ Συρίᾳ. Βιμάλῳ δε συστρατευσάμενος, ὁμοίως ἔχων τῶν ἁρμάτων τά δρεπανηφόρα, τοὺς πολεμίους ἐτρέψατο καὶ Δαμαοκὸν ἔκτισε πόλιν. Ταῦτα γέγραπται ἐν τῷ περὶ τῶν ἀνδρῶν τῶν εἰς τὸν πόλεμον καλῶν λόγῳ.

VI. Πάντες μὲν οὖν οἱ περιοικοῦντες, ἐκείνην τὴν τῶν Σιδονίων ἀκούσαντες νίκην, δῶρα πολλὰ καὶ καλὰ ἐδωρήσαντο τῷ Βιμάλῳ. Ἀλλὰ δὴ καὶ οἱ νησιῶται λόγους περὶ τῆς τῶν τοῦ Κρόνου ἱερῶν καὶ βωμῶν ἀποκαταστάσεως τοῖς Σιδονίοις ἔπεμψαν ποιησαμένους. Ἀνέπεμψαν δὲ καὶ οὓς εἶχον αἰχμαλώτους ἐκ τῶν παρὰ τῇ θαλάττῃ πόλεων. Σπονδὰς οὖν ποιησάμενος, Βίμαλος πολλὰ ἀπέστειλε πλοῖα, ὡς φρουρία ἐν ταῖς νήσοις ποιήσων. Αἱ δὲ νῆες καὶ ἐπὶ Ταρτησσοῦ ἔπλευσαν· οἱ δὲ ναύαρχοι τὴν τῶν Ταρτησσίων ἐδέξαντο ξυμμαχίαν.

gladii plagam. Eum autem, qui fratrem trucidavit, bene novi. Tu enim Carane inermem gladio interfecisti. Me autem invenies armatum. Fratrem deinde sepeliit atque Amaræorum Onacynorumque copias conquisivit ut Gazæos aggrederetur, prœlioque in agro urbano commisso, Caranum fugavit. Falcatos enim currus cum in hostes emitteret, hostium multos aut trucidavit aut comprehendit. Curribus ex Aegypto arcessitis, omnibus finitimis timorem injecit Omnium enim in Phœnice et Syria princeps currus falcatos habuit. Bimalo autem cum auxilium tulisset, similiter currus instruxit falcatos, hostesque in fugam dedit, ac Damascum urbem condidit. Hæc vero descripta sunt in libro de viris bellicosis.

VI. Jam vero omnes finitimi, de hac Sidoniorum victoria certiores facti, dona multa et egregia miserunt Bimalo. Sed et insulani legatos misere Sidoniis de restituendis Saturni templis atque aris. Captivos quoque remisere, quos ex urbibus maritimis abduxerant. Fœderibns igitur factis, Bimalus magnam ornavit classem, ut præsidia in insulas disponeret. Classe etiam Tartessum profecti sunt Sidoniorum duces fœdusque inierunt cum Tartessiis.

VII. Ἀποικίας δὲ ποιησάμενος Βίμαλος δέκα, ἀποίκους εἰς ἑκάστην ἀπῴκισε χιλίους· ἦσαν δὲ ταύταις ταῖς ἀποικίαις λιμένες καὶ ἀκροπόλεις, ὥστε τοὺς βαρβάρους ἀλεξήσειν. Εἰ δέ ποτε πολεμήσειαν οἱ βάρβαροι πρὸς τὰς ἀποικίας, καθ' ἑκάστην ὁρμοῦσαι νῆες ταχεῖαι τοῖς Σιδονίοις τὴν ταχίστην διήγγελον τὸν πόλεμον. Τὴν μὲν δὴ πρώτην εἰς Κίττιον ἐποιήσατο ἀποικίαν, περιτετειχισμένην ἤδη ὑπὸ Δημαροῦντος, ὑπὸ δὲ τῶν ἐν τοῖς ὄρεσιν ἔναγχος ἀνάστατον πεποιημένην πόλιν. Ἐποίησε δὲ καὶ ἀποικίαν ἐν τοῖς πρὸς ἑσπέραν ἐκείνης τῆς νήσου τετραμμένοις, μίαν δ' εἰς Ῥόδον νῆσον, τρεῖς δὲ εἰς τὰ Ῥόδῳ νήσῳ ἀντικείμενα. Ἔπειτα ἐν τοῖς Κεράτοις πόλιν ἔκτισε, μίαν δὲ καὶ ἐν τῇ τῆς Μυλίτης νήσῳ καὶ ἐν Ἐρσιφωνίᾳ δύο. Αὗται οὖν εἰσὶν, ἃς ἐποίησε Βίμαλος ἀποικίας δέκα. Ἡ δὲ ἐν τοῖς Κεράτοις πόλις μετ' οὐ πολὺν χρόνον εὐδαίμων γενομένη καὶ πολυάνθρωπος ὑπερβάλλον τὸ πλῆθος εἰς νῆσόν τινα πλησίον κειμένην ἀπέστειλεν ἀποίκους, πόλιν κτίσαντας μεγάλην καὶ εὐδαίμονα. Τῇ δὲ Ἀστάρτῃ ἐποίησαν ἐνταῦθα ἱερὸν μεγαλοπρεπέστατον. Τούτων δὲ τῶν ἀποικισμῶν ἔπαρχοι ἦσαν οἱ τοῦ Βιμάλου παῖδες καὶ ἀπόγονοι.

VIII. Οὕτω μὲν οὖν Βίμαλος θαλαττοκρατῶν καὶ τὸ ληστικὸν καθεῖλεν ἐκ τῆς θαλάττης. Προσιόντων δὲ χιλίων ταλάντων ἐκ τῶν πόλεων κατ' ἐνιαυτὸν φόρου, βαθυπλούσιος τ' ἐγένετο καὶ πάντων τῶν Σιδῶνος βασιλευόντων πλείστην εἶχε δύναμιν. Δέκα

VII. Decem colonias Bimalus deduxit ac singula colonorum millia in eas distribuit; coloniæ autem portu atque arce erant ornatæ, ad hostes propulsandos. Cum vero barbari coloniam quandam forte aggrederentur, naves, quæ apud singulas colonias ad navigandum paratæ habebantur Sidonios de bello certiores fecere. Principem in Cittiorum insulam deduxit coloniam, ubi Demaroon urbem jam condiderat, quam tamen montani nuper devastarant. Coloniam etiam constituit in iis insulæ regionibus, quæ occidentem versus spectant, unam vero in Rhodo insula, atque tres in eo tractu, qui e regione est Rhodi. Urbem postea in Ceratis condidit, sicut etiam in Mylites insula atque duas in Ersiphonia. Hæ sunt coloniæ decem a Bimalo conditæ. Ea autem, quæ in Ceratis erat condita urbs, cum brevi tempore maxima floreret incolarum multitudine, hominum abundantiam in insulam prope sitam deduxit colonos, qui urbem ibi condidere maximam ac divitem. Quod vero ibi in honorem Astartes ædificarunt templum maximo splendore præditum erat.

VIII. Hoc modo imperio maris potitus, prædones etiam maritimos delevit. Singula vero cum per annum redirent millia talentum ex urbibus, ditissimus exstitit eratque in majore potentia, quam omnes, penes quos unquam Sidoniorum erat impe-

μὲν γὰρ μυριάδες αὐτῷ ἦσαν δεινῶν τὸν πόλεμον, ἑκατὸν δὲ ἅρματα, τριήρεις δὲ ἑβδομήκοντα, τὰ δὲ στρογγύλα πλοῖα ἐγένετο ἄφθονα ὅσα. Ἐξελθὼν δὲ ἐφ' ἅρματος ἐφέρετο πολυτελοῦς, ἁλουργῷ χρώμενος ἱματίῳ· προήλαυνον δὲ χίλιοι σωματοφύλακες, οἷς ἐπάργυροι ἦσαν οἱ θώρακες. Ἐτελεύτησε δὲ πολλὰ ἔτη βασιλεύσας.

IX. Ἀποθανόντος δὲ Βιμάλου, οἱ τῶν πόλεων ἄρχοντες μέγαν εἵλοντο βασιλέα Ῥάβωθον τὸν πρότερον ἄρχοντα τῶν Βυβλίων. Τριάκοντα οὖν ἔτη βασιλεύσας ἐν τῇ πόλει εἰς Σιδῶνα ἀνῆλθε Ῥάβωθος μέγας βασιλεὺς καὶ Βάρσιδον κατέλιπε τοῖς Βυβλίοις, ἄνδρα εὐγενέτην. Τούτου δὲ τὸν ἀδελφὸν οἱ Βύβλιοι ἀπέκτειναν μάλα ὑβρίζοντα. Βαρσίδου δὲ δυοῖν δεόντοιν εἴκοσιν ἔτη βασιλεύοντος, πόλεμος ἐγένετο τῶν Σιδονίων δεινότατος πρὸς τοὺς Γίγαντας. Ῥαβώθου δὲ τούτῳ τῷ χρόνῳ ἀσθενοῦντος, Βάρσιδος πάντων ἐξ ἁπασῶν πόλεων ἐστρατήγει βοηθησάντων. Παρῆν δὲ καὶ Δαμάσκοντος υἱὸς, διακόσια ἔχων ἅρματα. Μάχης δ' ἐν τῇ ὑπωρείᾳ γενομένης, οἱ μὲν Σιδόνιοι τὸ πρῶτον φεύγουσι, διωκόντων τῶν Γιγάντων. Ἀλλ' ὁρῶντες οὗτοι ἅρματα τὰ δρεπανηφόρα, διὰ χρόνου παραγενόμενα (πολλοῦ γὰρ ὄντος ἐξ οὐρανοῦ ὕδατος τοῖς Σύροις οὐκ ἦν πρότερον διαβῆναι τὸ ὄρος) ἀνὰ κράτος φεύγουσιν οἱ Γίγαντες, τείνοντες ἄνω πρὸς τὸ ὄρος. Ἀνικήτους δὲ τούτους τοὺς ἀνθρώπους πρῶτος καθ' ἡμᾶς κατεδούλωσε Κουσάβας ὁ Ὠκαλοθῶνος καὶ Κρόνῳ δὲ βωμὸν ἵδρυσε καὶ ἀγρὸν τε ἀνέθηκε καὶ ὕλην ἀναθήματα,

rium. Centum enim militum millia ei erant et centum currus; naves longæ septuaginta, onerariæ vero innumerabiles. Domo egressus in curru sedebat magnifico, vestibus indutus purpureis. Antecedebant autem mille satellitum, quibus erant thoraces argentei. Obiit autem postquam multos regnaverat annos.

IX. Quo mortuo, urbium reges magnum crearunt regem Rabothum, qui prius Bybliorum fuerat rex. Rabothus, postquam Bybli triginta annos regnaverat, Sidonem profectus est maximus rex, Bybliisque Barsidum reliquit regem, virum nobilissimum, cujus fratrem, cum excelleret insolentia, cives trucidarunt. Jam vero Barsidus cum duodeviginti annos regnum tenuisset, maximum Sidoniorum contra Gigantes bellum est ortum, et Rabotho eodem forte tempore ægrotante, Barsidus dux creatus est omnium ex omnibus urbibus collectorum auxiliorum. Aderat etiam filius Damascontis cum ducentis curribus. In radicibus vero montis cum prœlium committeretur, primo quidem Sidonii fugiunt, eosque persecuti sunt Gigantes. Sed Gigantes, cum currus viderent falcatos, qui interim advenerant (Syri enim magnis assiduisque imbribus quominus montem transirent, prohibiti erant) quam celerrime in montis cacumina profugere. Invictos autem usque ad nostra tempora primus devicit Cusabas filius Ocalothonis, qui Saturno aram exstruxit agrumque et sylvam

τοῖς ἱερεῦσι τὰ ἐπιτήδεια παρεχοντα. Βάρσιδος δὲ τρωθεὶς ἐν τῇ μάχῃ ἐτελεύτησε μετ' ὀλίγον χρόνον. Διεδέξατο δ' αὐτὸν Ὀβδοβάλτις υἱὸς, ὃς καὶ Ὀβδαστάρτης καλεῖται.

X. Ἐτελεύτησε δὲ καὶ Ῥάβωθος τρίακοντα ἔτη τῶν Σιδονίων βασιλεύσας, τὰ δὲ πάντα ἑξήκοντα ἔτη ἐν Σιδῶνι καὶ ἐν Βύβλῳ. Κατέστη δ' εἰς τὴν βασιλείαν Βελῖρος ὁ Ῥαβώθου. Βελῖρος οὖν, ὡς γέγραπται ἐν τῷ τῶν ἡρώων λόγῳ, τοῖς Ταρτησσίοις πολεμήσας πολὺν χρόνον, ὥστε ὑφ' ἑαυτῷ ποιήσειν τὴν χώραν, ἐνικήθη. Τότε μὲν ταύτην ἐποίησεν ἐλεγείαν. Σιδὼν εὔδαιμον, ἆρα ἡ θάλαττα ἐκβέβληκέ σε μαργαρίτιδα εἰς ἀκτὴν, ἢ οὐρανόθεν κατελήλακες ἀστὴρ αὐγήεις; ἐπαυγάζεται τῇ σῇ αὐγῇ ἡ μεσογαία, τῇ δὲ θαλάττῃ ἀποκαταφαίνεται τὸ τῆς ἱλαρᾶς κάλλος. Τῶν κυμάτων ἄνασσα τοὺς παραπλεύσαντας θεωρεῖς ὑπηκόους καὶ μακαριστὴ μήτηρ τὰ τέκνα χαίρεις ἰδοῦσα. Ἀλλ' ἀναβλεπούσῃ τηλόσε δάκρυά μὲν τῶν παρειῶν καταλείψεταί σοι, τὴν χώραν καθυγραίνοντα, ὁ δὲ πόντος ἠχήσει μέλη τὰ πενθικά· διεῤῥάγησαν γὰρ αἱ τριήρεις ἐν Ταρτησσῷ, τῶν δὲ παίδων οἱ ἄριστοι κεκμηκότες εἰσὶν ἐν ἀκτῇ μακρὰν ἀπούσῃ. Μετὰ ταῦτα πέντε καὶ τετταράκοντα ἔτη ἐβασίλευεν ὁ Βελῖρος τῶν Σιδονίων.

XI. Τελευτήσαντος δὲ Βαρσίδου Ὄβαδος τῶν Βυβλίων ἐβασίλευεν. Οὗτος μὲν οὖν πρὸς τοὺς Βηρυτίους ἐπολέμησεν· ὁ δὲ Βελῖρος τοῦ πολέμου αὐτοὺς κωλύσοντας ἀπέστειλεν. Ἐν τούτῳ τῷ πολέμῳ οἱ

ei consecravit, e quibus victum sumerent sacerdotes. Barsidus autem, in prœlio vulneratus, mox obiit. Regnum suscepit ejus filius Obdobaltis, cui et Obdastartes est nomen.

X. Obiit et Rabothus, postquam apud Sidonios triginta regnaverat annos. Omnino autem sexaginta regnavit annos apud Sidonios et Byblios. Successit in ejus imperium Belirus Rabothi. Jam vero Belirus, uti descriptum est in libro fortium virorum, diu cum Tartessiis bellum gerebat, ut eorum fines sibi subjiceret; sed victus est atque hanc dixit næniam. Sidon dives utrum mare ejecit te margaritam in litus, an e cœlo descendisti stella splendida? Tuo splendore regio mediterranea illustratur, mare autem resplendet hilaris pulchritudinem. Undarum regina eos, qui præternavigant, pro subditis habes, materque felicissima liberorum gaudes aspectu. Sed longe prospicienti a genis tibi defluent lacrymæ humectantes terram, et pontus resonabit carmine lugubri; naves enim longæ in finibus Tartessiorum fractæ sunt, filiorumque tuorum fortissimi in ripa longe remota obierunt. Post hæc quadraginta quinque annos Belirus Sidoniis imperavit.

XI. Postquam Barsidus obiit, Obadus rex erat Bybliorum, qui bellum gerebat cum Berytiis. Belirus autem legatos ei misit de bello componendo. Hoc durante bello Byblii Berytum expugnarunt,

τοῖς ἱερεῦσι τὰ ἐπιτήδεια παρεχοντα. Βάρσιδος δὲ τρωθεὶς ἐν τῇ μάχῃ ἐτελεύτησε μετ' ὀλίγον χρόνον. Διεδέξατο δ' αὐτὸν Ὀβδοβάλτις υἱὸς, ὅς καὶ Ὀβδαστάρτης καλεῖται.

X. Ἐτελεύτησε δὲ καὶ Ῥάβωθος τρίακοντα ἔτη τῶν Σιδονίων βασιλεύσας, τὰ δὲ πάντα ἑξήκοντα ἔτη ἐν Σιδῶνι καὶ ἐν Βύβλῳ. Κατέστη δ' εἰς τὴν βασιλείαν Βελῖρος ὁ Ῥαβώθου. Βελῖρος οὖν, ὡς γέγραπται ἐν τῷ τῶν ἡρώων λόγῳ, τοῖς Ταρτησσίοις πολεμήσας πολὺν χρόνον, ὥστε ὑφ' ἑαυτῷ ποιήσειν τὴν χώραν, ἐνικήθη. Τότε μὲν ταύτην ἐποίησεν ἐλεγείαν. Σιδὼν εὔδαιμον, ἆρα ἡ θάλαττα ἐκβέβληκέ σε μαργαρίτιδα εἰς ἀκτὴν, ἢ οὐρανόθεν κατελήλακες ἀστὴρ αὐγήεις; ἐπαυγάζεται τῇ σῇ αὐγῇ ἡ μεσογαία, τῇ δὲ θαλάττῃ ἀποκαταφαίνεται τὸ τῆς ἱλαρᾶς κάλλος. Τῶν κυμάτων ἄνασσα τοὺς παραπλεύσαντας θεωρεῖς ὑπηκόους καὶ μακαριστὴ μήτηρ τὰ τέκνα χαίρεις ἰδοῦσα. Ἀλλ' ἀναβλεπούσῃ τηλόσε δάκρυά μὲν τῶν παρειῶν καταλείψεταί σοι, τὴν χώραν καθυγραίνοντα, ὁ δὲ πόντος ἠχήσει μέλη τὰ πενθικά· διεῤῥάγησαν γὰρ αἱ τριήρεις ἐν Ταρτησσῷ, τῶν δὲ παίδων οἱ ἄριστοι κεκμηκότες εἰσὶν ἐν ἀκτῇ μακρὰν ἀπούσῃ. Μετὰ ταῦτα πέντε καὶ τετταράκοντα ἔτη ἐβασίλευεν ὁ Βελῖρος τῶν Σιδονίων.

XI. Τελευτήσαντος δὲ Βαρσίδου Ὄβαδος τῶν Βυβλίων ἐβασίλευεν. Οὗτος μὲν οὖν πρὸς τοὺς Βηρυτίους ἐπολέμησεν· ὁ δὲ Βελῖρος τοῦ πολέμου αὐτοὺς κωλύσοντας ἀπέστειλεν. Ἐν τούτῳ τῷ πολέμῳ οἱ

sed insulanos egressos esse in terram audientes, quam celerrime domum reverterunt. Sed festinanter reversi in terram defodisse dicebantur multas divitias, quas essent effossuri, quo tempore pax cum Berytiis composita fuerit. Berytiorum igitur multitudo ad montis radices sese contulerunt, divitiarum illarum cupidi atque ad locum dictum advenerunt, sed effodientes nihil invenere, quanquam omnibus locis requirerent. Quum autem imbres essent tempestasque, plane sunt madefacti. Huc accessit, ut aura vespertina esset humida ac perfrigida. Multa igitur passi, nihil peregere et irati redierunt. In reditu autem lapsus quidam, ligneam cistam in luto sensit. Dolium invenere ponderosum atque aurum inesse argentumque purum aut vasa aurea et argentea credidere, ita ut eorum, qui expeditionem suscepissent, quisque maximas reciperet divitias. Dolium igitur quam celerrime in urbem esse apportandum constituere, ne in distributione morati ab hostibus opprimerentur in planitie. Jam vero quattuor humeris tulere cistellam. Sed erant, qui item portare vellent, eosque, qui dolium ferebant, amovere conati sint, eorum loco portaturi. Illis vero resistentibus, multi vulnerati sunt. Duci igitur, qui, ut discordiam componeret, statim dividi jussit divitias, adstrepuere, doliumque contuderunt. Tum vero plures maxima ira sunt affecti. Dolium enim, quod auro plenum esse crediderant, silices

ἀλλὰ τότε ἦν ἰδεῖν πολλοὺς ὀργιζομένους. Ὁ γὰρ πίθος, ὃν ἐνόμιζον χρυσοῦ μεστὸν, χάλικας περιεῖχε καὶ κόπρον, ὥστε δῆλοι ἦσαν ὑπὸ τῶν πολεμίων φενακισθέντες. Διὰ ταῦτα χαλεπώτατα ἔσχον ἄλλως τε καὶ ὅτι ἐγελοιάζοντο ὑπὸ τῶν ἐν τῇ πόλει καταλειπομένων. Ἀπὸ δὲ τούτου εἴρηται ἡ παροιμία, ὅτι οἱ Βηρύτιοι κόπρον νομίζουσι χρυσὸν, λέγουσα.

XII. Τούτῳ τῷ χρόνῳ (μνήμης γὰρ ἄξια ἡμᾶς δεῖ πάντα διηγήσασθαι) Κάδμιος καὶ Ἀναβαῖος καὶ Ἰσχαβηράθων καὶ ἄλλοι τινὲς ἐπὶ Ταρτησσὸν ἤλασαν, ὑπὲρ τὰ τριάκοντα, Βύβλιοι πάντες. Κυβερνήτην δ' ἔχοντες οὐ χρήσιμον, τῆς μὲν ὁδοῦ ἀποπλανῶνται· ποῦ δ' εἰσὶν οὐκ ἴσασι. Διὰ τοῦτο οὖν εἰς θάλατταν ἐθέλοντες κυβερνήτην ἐκβάλλειν, προσκυνήσαντι αὐτοὺς καὶ πολλὰ ἱκετεύσαντι συγγνώμην εἶχον. Πολλὰς οὖν ἡμέρας τὴν ναῦν ἐλάσαντες, αἰγιαλὸν ἥδονται θεώμενοι καὶ πόλιν ἐν τῇ μεσογαίᾳ κειμένην. Ἔλαθον δ' ἐν Τέγγῃ ὄντες καὶ ἓξ ἀπέστειλαν ἄνδρας πεῖραν ληψομένους τῆς τε χώρας καὶ τῶν ἀνθρώπων. Οἱ δὲ ἐν τῇ πόλει τοὺς ἀναβαίνοντας ἰδόντες καὶ ἀπεμπολῶντας τὸν ἐν τῷ πλοίῳ σῖτον, ὑπερχαίρουσιν, ἐπεὶ λιμὸς ἐγένετο ἀνὰ πᾶσαν τὴν χώραν ἰσχυρότατος, καὶ πλοῖα ἀποστέλλουσιν ἁλιευτικὰ, ὥστε ὁρμιεῖν τὴν ναῦν. Οἱ δὲ Βύβλιοι τοῦτον τὸν ὄχλον ἰδόντες πολλῇ κραυγῇ προσερχόμενον, πολεμίους εἶναι ἐνόμιζον, καὶ τοὺς ἓξ ἀπολιπόντες, αὖθις ἀνηγάγοντο. Πρὸς δὲ ἄρκτον τε καὶ ἡλίου δυσμὰς παραπλεύσαντες, ἐσχάτως διέκειντο ἡμέρας πέντε. Ῥαγέντων μὲν γὰρ τῶν

continebat lutumque, ut apertum esset, Berytios ab hostibus deceptos esse et hanc ob caussam valde irati erant, et alioqui et quod ab iis, qui restaverant in urbe, deridebantur. Atque hæc res abiit in proverbium. Nam Berytii lutum pro auro habere dicuntur.

XII. Eodem tempore (memoratu enim digna nos decet omnia commemorare) Cadmius et Anabæus et Ischaberathon ac nonnulli alii Tartessum navigarunt, plus quam triginta omnesque Byblo nati. Gubernatorem autem cum navigandi imperitum haberent, a via aberrarunt, atque, ubi sint, nesciunt. Hanc ob caussam primo gubernatorem in mare voluerunt ejicere. Sed cum ad eorum pedes procumberet eosque obsecraret, veniam ei dedere. Diu autem circumnavigantes, maximo gaudio sunt affecti, cum littus conspicerent, oppidumque in regione mediterranea situm. Pervenerant in Tengam, sed nesciebant. Sex igitur viros emiserunt, ut explorarent regionem hanc atque incolas. Oppidani vero, cum eos viderent ad se ascendere frumentumque, quo navis erat onerata, venditare, supra modum gaudebantur, quia fame gravissima omnis regio laboraret, scaphasque piscatorias emisere, quæ navem in portum traherent. Quam turbam cum animadverterent Byblii maximo clamore accurrere, hostes esse crediderunt ac sex illis relictis, denuo altum

πίθων, ἐν οἷς τὸ ὑγρὸν ἦν, πάντων ὑπὸ τοῦ καυσώματος, παντελῶς ἄνυδροι ἦσαν καὶ ἐταλαιπωροῦντο ὑπὸ δίψης, ὥστε, ἄλλου μὲν τὸ αὔτου οὖρημα ὑπὲρ τοῦ τὴν δίψαν παύσειν, ἀποθέντος, ἄλλου δὲ ὑφελομένου τοῦτο καὶ καταπιόντος, δεινοὶ ἐγένοντο ἀγωνισμοί.

XIII. Ἐν ταύτῃ τῇ ἀπορίᾳ ἀπὸ τῆς πόλεως φυγόντες μετεμέλοντο. Ἀποβάντες μὲν οὖν εἰς τὴν γῆν τὸ δὲ πλοῖον διατρήσαντες καὶ ἐξοκείλαντες, παρὰ τὴν ἀκτὴν ἐν ἁλὶ τῷ θαλασσίῳ ἀπέδραμον. Ἦν μὲν γὰρ πεπηγμένη ὑφ' ἡλίου ἡ ἅλμη. Γυμνοὶ δὲ ἔσθ' ὅτε εἰσῆλθον τὴν θάλατταν διὰ τοῦ καύματος τοῦ καθ' ὑπερβολὴν καὶ μετὰ τὸ λουτρὸν περίψυκτοι προήλασαν, πηγάς τε καραδοκήσαντες καὶ ἀνθρώπους. Τότε δὲ αὐτοῖς τὸν μὲν ποδῶν χρῶτα περικαύστοις, διαφθαρμένοις δὲ δίψει, οὐδεμία ἦν ἀνθρώποις ὁμοιότης καὶ οὕτως ἀσθενεῖς ἐγένοντο, ὥστε κατεπεσέτην ἀναβαίνοντε δύο εἰς πηγῶν ζήτησιν, ἔνιοι δὲ καὶ τῶν ἐν τῷ αἰγιαλῷ πορευομένων. Τέλος δὲ ὀπώριμον εὗρον δένδρον καὶ ἰδόντες τὰ μῆλα καλὰ ἐχάρησαν ὑπὲρ τὸ μέτρον. Τούτων δὲ πικρῶν ὄντων, τοῦ δ' ὀποῦ ἐξανθήματα ἐργαζομένου περὶ τὸ στόμα, ἐν πολλῇ ἦσαν ἀθυμίᾳ καὶ ἀπογνώσει.

XIV. Ἐξαίφνης δὲ πλοῖον ἀναβλέψαντες μετέωρον, νεύματι χρησάμενοι προσεκάλεσαν. Ἐκεῖνοι δὲ παραγενόμενοι, τὴν πατρίδα Ἰμυρχακῖνοι ἄνδρες, ἐν

petivere, atque in regionem caurinam navigantes, per quinque dies maxima premebantur inopia. Solis enim ardore doliis, quæ aquam continebant, ruptis omnibus, aquæ penuria erat maxima, sitique fere perierunt, et si quis urinam servavisset ad sitim explendam, alter ei subripuit atque ebibit, unde maximæ lites ortæ sunt.

XIII. Hac sollicitudine vexati eos, quod fugissent ex oppido, pœnituit et in ripam egressi, nave perforata atque in litus ejecta, salem pervaserunt maritimum; aqua enim maritima solis ardore in litore concreverat. Interdum etiam nudi in mare descendere, propter fervorem æstivum, et lotione refrigerati iter perrexerunt, ut aquam atque homines investigarent. Tunc autem pedum cutis iis erat adusta, sitique erant consumti neque iis erat similitudo cum hominibus. Tanta vero erant imbecillitate, ut duo ex iis, qui in fontem inquisituri ascenderant, corruerent, sicuti et nonnulli eorum, qui in ripa profecti sunt. Postremo arborem invenere pomiferam atque immodice gavisi sunt pomorum pulchrorum aspectu. Quæ autem cum amara esse cognoscerent eorumque succum efficere ulcera circum os, maxima affecti sunt animi defectione et desperatione rerum omnium.

XIV. Subito vero conspexerunt in alto mari navigantes, quos signis advocarunt. Qui cum advenirent, Imyrchacini patria, unde in his locis

τούτῳ τῷ τόπῳ ὁρῶντες ἐθαύμασαν ἀνθρώπους. Τούτοις μὲν οὖν τοῖς ἑτερογλώττοις τῇ χειρὶ, ὅτι πεπτωκότας ἀπέλιπόν τινας ἐν τῷ αἰγιαλῷ, ἐσήμηναν οἱ Βύβλιοι, διαφθαρῆναι κινδυνεύσαντας. Ἐπαναδραμόντες δ' ἐκεῖνοι καὶ ἤδη τεθνεῶτας εὑρόντες, οὓς κατέλιπον οἱ Βύβλιοι, πρὸς λίμνην ἀνήγαγον τὸν ὄχλον. Ἐνταῦθα δὲ τοῦ ὕδατος πιών τις ἀπέθανεν ἀμετροπότης· τότε δὲ τοὺς ἑτέρους τοῦ πιεῖν ἄγαν ἐπέσχον οἱ Ἰμυρχακῖνοι. Ἀναχωρήσαντες δὲ πρὸς τὸ ναυάγιον, τὰ μὲν ὅπλα καὶ σκεύη ἐξέλαβον, ὠλιγόρησαν δὲ τῶν πυρῶν.

XV. Ἀπήγαγον δὲ μεθ' ἑαυτῶν εἰς Ἰμυρχακίνην νῆσον τοὺς Βυβλίους, οὓς μὴ πειρατεύσαντας εὑρόντες ἀλλ' ἐμπορευομένους λέγοντας δὲ καὶ τὰ ἄλγη πολλά τε καὶ πλανήματα, οὐκ ἀπέκτειναν, ἀλλ' ᾤκτειρον τῶν πόνων, καὶ τὰ ὅπλα τε καὶ σκεύη τὰ ἐκ τοῦ πλοίου ἐκκομιζόμενα ἐπέκριναν αὐτοῖς, ἐὰν πρὸς θεῶν, ἦ μὴν πάντα ταῦτα γενέσθαι ἴδια, ὅρκους ὀμόσωσιν. Ἐπεὶ δὲ πάντα διεζήτουν, οἱ νησιῶται ἄλλα τε πολλὰ εὗρον καὶ βιβλία γεγραμμένα, ἐν οἷς Ἀστάρτης τῆς κερατοφόρου ἰδόντες ἀπείκασμα, μαγικὰ ἐνόμιζον τὰ γράμματα. Δαίμοσι γὰρ δὴ τοῖς κακοῖς εἶναι κέρατα οἴονται, τῆς δὲ γραφικῆς ἀπειρότατοι γίνονται. Φοβηθέντες οὖν βουλεύονται, καὶ τὰ βιβλία τε καὶ τοὺς ἄνδρας δεδεμένους ἀποπέμπουσιν εἰς Σαείραν νῆσον ἀντικειμένην, ἔνθα ἦν ὁ βασιλεύς, ὃς τὰ μὲν ἐγγεγραμμένα ὁμοίως ἀγνοῶν, τοὺς δ' ἀνθρώπους ἀποκτείνειν οὐκ ἐθέλων ἀνεξελέγκτους, τὸ τελευταῖον εὑρίσκει γέροντα γλώσσης ἔμπειρον τῆς ἡμετέρας τε καὶ

exstiterint homines, mirati sunt. Byblii vero barbara lingua usis, se nonnullos in litore reliquisse, qui facile perirent, manu significarunt. Illi vero recurrerunt eosque, quos reliquerant Byblii jam mortuos repererunt; turbam deinde ad lacum quendam adduxere, ubi aquam immodice bibens quidam obiit; tum vero reliquos, quominus nimium biberent, arcuerunt Imyrchacini. Redierunt autem postea ad navem fractam, et arma ac vasa abstulere, triticum autem reliquere.

XV. Byblios vero secum in Imyrchacinam abduxere insulam, et cum eos non esse piratas animadvertissent, sed mercatores, certioresque essent facti de rebus eorum adversis atque erroribus, captivos non trucidarunt, sed eorum miserebantur, atque arma ac vasa, quæ ex nave sumserant, iis adjudicarunt, si per deos, ea omnia ipsis propria esse, jurare vellent. Omnia autem cum insulani perscrutarentur, inter alia multa et libros scriptos invenerunt, in quibus cum Astartes cornua ferentis conspexissent imaginem, libros magicos esse crediderunt. Malis enim dæmonibus cornua vindicant, artis autem scribendi inexperti sunt. Pavidi igitur hanc rem sermonibus agitaverunt et libros et homines vinctos in Sairam miserunt insulam haud procul sitam, ubi rex erat, qui item scribendi experientia carebat, attamen homines maleficii cujusdam nullo modo convictos, trucidare noluit. Postremo

γραμμάτων, ἃ ἔτι παῖς ὢν ἔμαθεν ἐν Ταρτησσῷ. Ἐκ τούτου δὲ πολὺν χρόνον προσεῖχον διὰ τρίτης τῆς ἡμέρας τὰ γράμματα μεθερμηνεύσαντι ἐκείνῳ ὅ τε βασιλεὺς καὶ οἱ μετ' αὐτὸν κράτιστοι καὶ πολλὴν ἐκ τῶν λόγων εἶχον εὐθυμίαν, ἐξαιρέτως δ' ἐτέρψαντο τοῖς περὶ τὸν νεανίσκον. Μεταπεφρασμένου δὲ τούτου τοῦ βιβλίου, ὁ βασιλεὺς καὶ τῶν λοιπῶν ἐπεθύμει, ἐν οἷς γέγραπται τὰ τῶν θεῶν καὶ τὰ τῆς Ναμᾶς μέλη. Ταῦτα δὲ προδιασκεψάμενος ὁ γέρων πρὸς τοὺς ἐν φυλακῇ ὄντας διέτεινεν ἄνδρας Βυβλίους καί, εἰ μὲν, ἔφη, πάντα ὡς ἔχει ἑρμηνεύοιμι, ἀπολώλοιμεν ἂν πάντες, ἐγώ τε καὶ ὑμεῖς. Τότε μὲν ὀλολυγὴ ἐγένετο παρ' αὐτοῖς πολλή. Ἐκεῖνος δὲ κατελεῶν αὐτούς, τὰ μὲν παραλειπὼν, τὰ δὲ οὐ ταὐτὰ λέγων τοῖς γεγραμμένοις, αὐτοῖς ἔπραξε τὰ συμφέροντα. Τὴν μὲν οὖν ἀνάγνωσιν καταπαύων, ὅτι οὗτοι μὲν, ἔφη ὁ βασιλεὺς, χρηστοί εἰσιν ἄνδρες, οὔτε τῇ μαγικῇ προσομιλήσαντες, οὔτε τοῖς δαίμοσι.

XVI. Παθήματα οὖν πολλὰ πεπονθότες ἐκ τῆς φυλακῆς ἀπελύθησαν. Τροφὴν δ' αὐτοῖς παρεῖχον ἱκανὴν πάντες οἱ νησιῶται, οὐχ ἥκιστα δὲ χήρα τις πρέσβεια. Ἀναβαῖος δὲ, ἀνὴρ ὢν γελοῖος, ἔρανόν ποτε διδούσῃ, εἰ μὲν, ἔφη, σχεδόν τι ἐμπείρως εἶχες τριπανούργου μου, οὐδὲν ἂν ἐδίδους μοι. Ἡ δὲ τὰ ἔπη οὐ συνέλαβεν, ἀλλὰ σεμνὸν βλέψαντα τὸν Ἀναβαῖον ἐνόμιζε χάριν ὁμολογήσαντα. Οἱ δὲ λοιποὶ χαλεπῶς αὐτῷ ἐπετίμησαν. Τί γὰρ ἂν πάθοιεν, εἰ τὴν τῶν Βυβλίων τύχοι ἐπισταμένη διάλεκτον.

vero senem reperit et nostræ linguæ peritissimum et scribendi artis, quam puer admodum apud Tartessios didicerat. Ex hoc tempore diu et rex et civitatis primores post intervallum ternorum dierum ore librum vertentis hærebant, atque maximam ex eo perceperunt voluptatem, præcipue ex narratione de adolescentulo. Verso hoc libro, et ceterorum explicationis rex erat cupidus, in quibus Deorum res gestæ descriptæ erant, sicut et Namæ carmina. Quæ perscrutatus senex ad captivos contendit Byblios et, si omnia inquit, ut sese habent, explicarem, omnes certe essemus perditi, ipse equidem et vos. Tunc maximus clamor inter eos est ortus. Illum vero eorum miseruit, atque alia prætermittendo, alia versione mitigando, Bybliorum adjuvit commodum. Recitatione finita rex, eos ait bonos esse viros, qui neque artes magicas exercerent, nec dæmonibus familiariter uterentur.

XVI. Magnos passi dolores custodia tandem liberati sunt. Insulani omnes iis victum præbebant sufficientem, præcipue vidua quædam annosa. Anabæus autem, vir jocosus, cum donum aliquando ab ea accepisset, si paullulum, ei dixit, novisses, quanta sim improbitate, nullam certe mihi donares rem. Illa autem verba non intellexit, sed vultu gravi prospicientem Anabæum putavit gratias agere. Reliqui vero gravissime eum objurgarunt. Quid enim paterentur, si illa forte Bybliorum linguam intelligeret.

Postea Tolomon Odæ filius rex erat quadraginta duos annos. Illis temporibus diu pacem servabant inter se urbium reges. Post vero Ratopem Jacylbas Sidoniis imperabat Ratopis filius annos octo et quadraginta. Tolomone mortus Arorphel in urbe Bybliorum regnabat annos viginti sex. Huic erat mancipium, qui Sybnas appellabatur (Sybnam enim Byblii dicunt mancipium), quem adoptavit Arorphel, qui sine liberis erat et Arorphelo mortuo, Byblii illum crearunt regem; penes hunc imperium erat viginti septem annos. Jacylbas vero duos habebat filios, natu majorem Petam, Barcam autem minorem natu, quorum Petas post mortem patris Sidoniis imperabat undetriginta annos. Barcas autem primo apud fratrem degebat. Cum vero Sybnas obiisset, Barcam Bybliis misit regem Petas. Barcas triginta tres annos regnabat. Hoc tempore Amathæi miserunt in eam, quæ Orientem versus est, planitiem colonos, quorum dux vir exstitit octocubitalis, qui in montes Armeniæ progressus, totam regionem sui ditionis fecit. Eosdem montes incolebant vates advenæ, et indigenis et colonis culti. Omnia his aperta esse et ne maxime abscondita quidem iis celari posse cum audiret Barcas, cui virgo Nebrana nupserat pulcherrima, sed quotidie vino inebriata, sin vero minus, ægrota, neque ille

μὲν κόρην γήμας καλλίστην, ἀλλ' ἀνὰ πᾶσαν ἡμέραν ἥττω γενομένην τοῦ οἴνου, εἰ δὲ μὴ, νόσῳ περιπίπτουσαν, οὐδένα δὲ αὐτὴν θεραπεῦσαι ἱκανὸν εὑρὼν, παρ' ἐκείνους τὸν γραφέα ἐκέλευσεν ἐλθόντα μαθεῖν παρ' αὐτῶν, ᾧ ἂν τῆς καινῆς καὶ παραδόξου ταύτης νόσου χρήσαιτο ἀντιφαρμάκῳ. Οἱ μὲν οὖν τὸν οἶνον ἔφασαν εἶναι ὑγρὸν ὑγιαινὸν καὶ διαχωρητικὸν τοῖς ἀνδράσι· γυναῖκα δὲ ἐπανελθὼν ὁ ἀνὴρ, εἰ τῇ οἰνοποσίᾳ ἐγκαταλάβοι, ῥᾳδίως ἂν ὑγιοποιήσειε πληγὰς αὐτῇ τῷ τυχόντι ξύλῳ ἐμβαλών. Ταύτην δὲ τῷ βασιλεῖ ἀπαγγέλλοντος τὴν ἀπόκρισιν τοῦ γραφέως, ἡ Νεβραία ἤδη ἐτεθνήκει, μέθης ὑπερεμπλησθεῖσα.

X. Μετὰ δὲ τὴν Πέτου τελευτὴν ἐν Σίδωνι βασιλεὺς ἐγένετο Ὀβδόκερνος ὁ Πέτου ἔτη τριάκοντα ἕξ, ὃς, Βάρκα ἀποθανόντος, ἔπαρχον ἀπέστειλε τοῖς Βυβλίοις Πωτίμακα τὸν ἀδελφὸν ἔτη πεντήκοντα βασιλεύοντα. Τυφλὸς δὲ γενόμενος ὁ Ὀβδόκερνος τὴν τῶν Σιδονίων βασιλείαν Μόκβᾳ παρέδωκεν υἱεῖ, ἄρχοντι ἔτη δύο καὶ τετταράκοντα. Μετὰ ταῦτα Ἰώνακος ἦν βασιλεὺς ἔτη δυῶν δεόντων εἴκοσι. Πωτίμακα δὲ βαρὺν ὄντα ὑπὸ γήρως, παραδοῦναι Ὀβούδᾳ τῷ αδελφόπαιδι τὴν τῶν Βυβλίων ἀρχὴν, προὔτρεψεν. Ὀβούδας δὲ βασιλεὺς ἦν δι' ἐτῶν εἴκοσιν ἑπτά. Μετὰ δὲ Ἰωνάκου τελευτὴν Σωρομόλκας ὁ Ἰωνάκου ἦρχεν ἐν Σίδωνι τριάκοντα δύο ἔτη. Μετ' Ὀβούδαν δε Κόλβας ἦρχεν ἔτη ἕνδεκα ὃν καὶ Μακρὸν Μοτακὶν ὀνομάζουσι διὰ τὸ ᾄσματα πεποιηκέναι χαριέστατα. Μετὰ δὲ τοῦτον τῶν Βυβλίων ἐβασίλευον ὁ μὲν Γέρσων ἔτη ἕξ,

ejus medicum posset invenire, ad vates illos jussit scribam proficisci, ut quæreret ab iis, quo remedio morbi novi hujus et inauditi deberet uti. Illi vinum dixerunt esse liquorem viris saluberrimum facilemque concoctu. Vir autem domum rediens uxoremque opprimens inebriatam facillime ad sanitatem eam perduceret ligno quopiam mulierem verberando. Quod cum regi retulit responsum scriba, Nebrana jam obierat supra modum inebriata.

X. Post mortem vero Petæ Sidoniorum regnum sex et triginta annos penes Obdocernum erat, Petæ filium, qui Barca mortuo Bybliis regem misit Potimacem fratrem, qui quinquaginta annos regnabat. Oculis autem cum caperetur Obdocernus Sidoniorum imperium Mocbæ filio tradidit, qui quadraginta duo regnabat annos. Postea Jonacus regnum tenebat duodeviginti annos, Potimacique viribus annisque defecto, ut Obudæ fratris filio imperium Bybliorum traderet, persuasit. Obudas autem septem et viginti annos rex erat. Post Jonaci mortem Soromolcas Jonaci filius Sidoniis imperabat triginta duo annos. Post Obudam regnabat undecim annos ejus filius Colbas, quem etiam, quia versus fecit suavissimos, Macron Motacin appellant. Post hunc Bybliorum fuit regnum penes Gersonem sex annos, penes

ὁ δὲ Μισαρὼν ἔτη τριάκοντα ὀκτὼ, ὁ δὲ Ἰάρβας τετταράκοντα ἔτη, ὁ δὲ Δέτανος ἔτη τετταράκοντα ἓν, ὁ δὲ Βαλμαβορὼτ ἔτη ἓξ καὶ τριάκοντα, ὁ δὲ Ἄτλας ἔτη εἴκοσιν ἓξ, ὁ δὲ Ζαβδίβας ἔτη ἓν καὶ τετταράκοντα ὁ δὲ Ἀσδρουῖλος ἔτη πέντε, ὁ δὲ Σιμαρὼν ἔτη εἴκοσι δέοντα ἑνός. Μετὰ δὲ τοῦτον οἱ Βύβλιοι εἵλοντο Ἀδονιλίβναν. Τῶν δὲ Σιδονίων ἐβασίλευον μετὰ Σωρομόλκαν καθεξῆς ὁ Μημροῦμος καὶ ὁ Δόβορπις καὶ ὁ Καδὼρ καὶ ὁ Μολίωκος ἔτη τὰ πάντα ἑκατόν. Γαδύλκαρος δὲ ὁ Μολιώκου ἦρχεν ἔτη τετταράκοντα τρία. Τούτου δ' ἀποτελευτήσαντος οἱ Τύριοι τὴν τῆς Φοινίκης παρέλαβον ἡγεμονείαν.

Η'.

I. Ἐλάσαρος μὲν γὰρ ὁ τῆς Ἀμαθίας βασιλεὺς τῷ Γαδυλκάρῳ ἔπεμψεν εἰς τὴν δικαιοσύνην καὶ πλοῦτον αὐτὸν ἐπαινεσομένους τε καὶ προςκομίσοντας δωρήματα ἄλλα τε πολλὰ καὶ δούλους Αἰθιωπικοὺς τρεῖς, οὓς θαύματα πολλὰ ποιεῖν εἰδότας ἐπρίατο παρὰ τῶν Βαβυλωνίων· ὄφιν γὰρ ἔχοντες, ἐπ' ὀργὴν προήγαγον, προτείνοντες φοινικίδα· εἶτα δὲ ἀτρέπτῳ προςελθόντες προσώπῳ, τῷ στόματι ἐφίλησαν ἀκίνδυνοι τὸν βουλόμενον πατάσσειν. Οὐδὲν δὲ καὶ ἔπαθον μάχαιραν ἀμφίκοπον διὰ τοῦ στόματος εἰςώσαντες μέχρι τῶν ὑποχονδρίων. Ταῦτα οὖν καὶ ἄλλα πολλὰ ποιήσαντας ἡδέως ἐθεώρησεν ὁ Γαδύλκαρος καὶ πολλαῖς

Misaronem triginta octo, penes Jarbam quadraginta, penes Detanum unum et quadraginta, penes Balmaborotum sex et triginta, penes Atlantem viginti sex, penes Zabdibam unum et quadraginta, penes Asdruilum quinque, penes Simarontem undeviginti annos. Post hunc vero Adonilibnam crearunt Byblii regem. Attamen Sidoniorum deinceps imperium post Soromolcam tenebant Memrumus, Doborpis, Cador et Moliocus annos omnino centum. Gadylcarus autem Melioci filius regnabat quadraginta tres annos. Quo mortuo, summum Phœnices imperium ad Tyrios delatum est.

LIBER SEPTIMUS.

I. Elasarus enim, Amathiæ rex, Gadylcaro misit, qui eum propter justitiam ac divitias laudarent et perferrent ad eum multa dona, inter quæ tres eminebant servi Aethiopici, quos emerat de Babyloniis multarum peritos artium. Serpentem enim in iram concitarunt, purpuram præbentes, postea vero vultu imperterrito adierunt ad eum, et mordere volentem sine periculo ullo osculabantur. Neque etiam quidquam passi sunt, gladium utrinque acutum per os immittentes usque ad scrobiculum cordis. Talia atque alia multa agentes magna cum voluptate spectabat Gadylcarus, multisque honoribus ornavit;

ἐκόσμησε τιμαῖς, τῷ μὲν προστάξας τὸ γραμματεύειν, τῷ δὲ τὴν τῶν νεῶν ἀρχήν· τῷ δὲ τρίτῳ οὐκ εἶχεν ὅτι δοίη, μήτε τῆς γραφικῆς, μήτε τῶν πολεμικῶν ἔχοντι ἐμπειρίαν· εἰ δ' εἶχεν, οὐκ ἐσομένῳ ἱκανῷ τὰ προςήκοντα πράττειν, μὴ ἐπισταμένῳ τὴν Σιδονίων διάλεκτον. Τοῦτον μὲν οὖν τῶν δικαστῶν ἀπέδειξε πρῶτον ὁ βασιλεύς· ἄλλοι δέ τινες ἀντὶ αὐτοῦ ἐν ταῖς πύλαις ἐπετέλουν τὰ τοῦ δικαστοῦ. Ἀφθόνως οὖν Γαδύλκαρος τούτοις τοῖς ἀνδράσι πολυτελεῖς παρεῖχεν ἐσθῆτας καὶ χρήματα πολλά· συνῴκουν δὲ καὶ τῷ βασιλεῖ ἐν αὐτοῖς τοῖς βασιλείοις, ὅπως ἀγρυπνῶν ὁ βασιλεὺς τὴν νύκτα αὐτοὺς μεταπέμψασθαι δυνηθῇ καὶ τὰ ἄτοπα καὶ θαυμάσια ποιήσαντας ἐκεῖνα διατρίψῃ τὸν χρόνον θεώμενος. Παραβραβεύσαντες δὲ καὶ πολλὰ χρήματα ἐκπραξάμενοι τοὺς μὲν Σιδονίους κακῶς διετίθεσαν· μῖσος δὲ καὶ παρὰ τῶν βασιλέων εἶχον, ὕβρει μὲν πρὸς τὸν τῶν Ἀραδίων βασιλέα χρώμενοι, στρατηγίαν δὲ τὴν πρὸς τοὺς Γίγαντας αἰτησάμενον τῶν Βηρυτίων ἄρχοντα, μὴ παραλαβεῖν, κωλύσαντες. Οὕτως οὖν πᾶσιν ἐνέβαλον ὀργήν.

II. Γαδύλκαρον δὲ γενόμενον ἄπαιδα εἰςποιήσασθαί τε καὶ ἀποδεῖξαι διάδοχον ἔπεισαν οἱ Αἰθίοπες Βαρτώφαν τὸν Τύρου βασιλέα οὗ πολλὰ ἔλαβον καὶ λαμπρὰ δῶρα. Οἱ δὲ Βηρυτοῦ καὶ Ἀράδου βασιλεῖς, Ὀχριτοβίμαλοι ὄντες (τοῦτο δ' ἦν τοῖς Βιμάλου ἀπογόνοις τοὔνομα), τῆς μὲν διαδοχῆς φθονήσαντες τῷ Βαρτώφᾳ, ἐπικρατεῖν δ' αὐτοῦ ἀδύνατοι, τούς γέ τοι αἰτίους γενομένους βασιλικοῦ τοῦ βου-

primo enim scribæ dedit munus; secundum classi præfecit; tertio autem, quod daret, non habebat, cum nec scribendi novisset artem, nec bellicarum rerum peritus esset; et, si etiam harum rerum fuisset peritus, tamen nihil instituere potuisset, quum ne Sidoniorum quidem intelligeret dialectum. Hunc igitur rex creavit judicum principem; ejus autem loco alii erant in portis, qui judicis officis fungerentur. Uberrime Gadylcarus viris his vestes suppeditabat magnificas multasque divitias; in eadem etiam cum rege habitabant arce, ut rex, si forte insomnis exsisteret, eos posset arcessere, et rara eos et mirabilia illa perficientes adspiciendo tempus consumere. Injustarum vero sententiarum auctores, multosque nummos extorquentes, Sidonios gravissime vexabant. Regibus etiam in odio erant; insolentius enim sunt usi Aradiorum rege; Berytiorum vero principem, qui summum imperium in bello contra Gigantes appetebat, prohibuerunt, quominus acciperet. Hoc modo omnes reddiderunt iratos.

II. Gadylcaro autem, cui non erant liberi, ut filium adoptaret, successoremque eligeret Bartopham Tyrium, persuaserunt Aethiopes, quia ab hoc multa dona magnifica acceperant. Beryti tamen et Aradi reges ex gente Ochritobimalorum (quo nomine appellabantur ii, qui a Bimalo originem ducebant), qui Bartophæ invidebant summum imperium, nec tamen ei eripere poterant, potentia evertere statuerunt

λεύματος διαφθείρειν ἠθέλησαν τοὺς Αἰθίοπας. Διαβαλόντες οὖν αὐτοὺς, ὡς μεγάλου βασιλέως ἐπιβουλεύσαντας τῷ βίῳ τε καὶ καταψευδομαρτυρησάμενοι ἀνέπεισαν Γαδύλκαρον, ἀλύσεσιν αὐτοὺς δεδεμένους εἰς Κίττιον ἐκβαλεῖν.

III. Μετ' ὀλίγον οὖν χρόνον, ἐπὶ Βαλμαβορῶτος ἄρξαντος ἔτη ἑνὸς δέοντος τριάκοντα τῶν Βυβλίων, Γαδύλκαρος ἐτελεύτησε, τρίτῳ καὶ τετταρακοστῷ τῆς βασιλείας ἔτει. Οἱ μὲν οὖν Ὀχριτοβίμαλοι, τῶν μὲν Βηρυτίων καὶ Ἀραδίων καὶ τῶν νήσων βασιλεύοντες πολλὴν μὲν ἤθροιζον στρατιὰν, πολλὰς δὲ τριήρεις, τῷ Βαρτώφᾳ μαχεσόμενοι ὑπὲρ τῆς ἡγεμονείας. Τῷ δὲ Βαρτώφᾳ ἐβοήθησαν οἱ Βύβλιοι καὶ Ὀβδάλιος ὁ τῆς Μυλίτης χώρας ἐπάρχων. Ὑποτάξοντες δ' ἑαυτοὺς τῷ νικήσαντι οἱ Σιδόνιοι μετ' οὐδετέρου ἔστησαν τῶν πολεμούντων. Νικήσαντος μὲν οὖν τὴν μάχην τοῦ Βαρτώφα τε καὶ πάσας καταστρεψαμένου πόλεις, οἱ μὲν περὶ τοὺς Ὀχριτοβιμάλους εἰς τὰς νήσους φυγόντες πολλὰς ἀποικίας ἐποίησαν. Βαρτώφας οὖν εἰς τὰς πόλεις ἐκ τῶν ἀμφὶ αὐτὸν ἀποστείλας ἄρχοντας, τὴν δίαιταν ἐποιεῖτο οὐ παρὰ τοῖς Σιδονίοις, διὰ τὸ μὴ μετασχεῖν τοῦ πολέμου, ἀλλ' ἐν Τύρῳ, ἣ ἐκ τούτου τοῦ χρόνου πρωτεύει πασῶν τῶν παρὰ τῇ θαλάττῃ τε καὶ ἐν τῇ μεσογαίᾳ πόλεων.

IV. Βαρτώφας μὲν οὖν πᾶσαν κατεῖχε Φοινίκην, τῶν δ' ἀποικιῶν πολὺν χρόνον οὐκ ἐγένετο κύριος· πολλὰ γὰρ πλοῖα ἔχοντες οἱ Ὀχριτοβίμαλοι ῥᾳδίως τῆς θαλάττης ἐκράτουν. Συχνὸν δὲ καὶ αἰφνιδίως

Aethiopes, regis sententiæ auctores. Eos igitur accusarunt, tanquam magni regis vitæ insidias paravissent, falsisque datis testimoniis, Gadylcaro persuaserunt, ut catenis vinctos in Cittium insulam demoveret.

III. Paullo post obiit Gadylcarus quadragesimo tertio regni anno, posteaquam Balmaborot viginti novem annos Bybliorum tenuit imperium. Ochritobimali deinde, penes quos Beryti et Aradi insularumque erat imperium, exercitum instruxere classemque armaverunt, ut de summo imperio dimicarent cum Bartopha, cui Byblii et Obdalius, Mylites insulæ regulus, auxilium tulerunt. Neutram vero partem secutis Sidoniis obedire erat constitutum ei, qui victoriam esset reportaturus. Jam vero cum Bartophas vicisset atque omnia sibi oppida subjecisset, Ochritobimali in insulas confugere, multasque condiderunt colonias. Bartophas in oppida misit reges, quos ex suis elegerat comitibus, neque apud Sidonios degebat, quia eum non adjuverant, sed in Tyriorum urbe, quæ ex eo deinceps tempore princeps est omnium urbium et maritimarum et mediterranearum.

IV. Hoc modo tota quidem Phœnice potitus, colonias tamen sibi non poterat subjicere Bartophas, quia Ochritobimali magnam classem exornantes maris imperium facile tenebant. Aliquoties etiam ex

Ἄρβῃ πόλει ἐπειράθησαν ἐπιπεσεῖν, κατὰ τοῦτον τὸν χρόνον ἐχυρωτάτῃ· ἡνίκα δὲ προςέλθοιεν, ὑπὸ τῶν Βηρυτίων ἐνικήθησαν. Ὁ δὲ Βαρτώφας τὰς μὲν ἀποικίας πολιορκεῖν βουλόμενος, τῶν δὲ πολεμίων τὰ πλοῖα ἥττων γενόμενος, πάντας ἐκέλευσεν ἐπάρχους, ὡς δυνατὸν μάλιστα ναυπηγήσιμον παρασκευάσαντας προςκομίζειν εἰς ὃ παρὰ τοῖς Βυβλίοις ναυπήγιον ἐπηύξησε. Λιμένα δ' εἰςελθὼν ποτε, ὡς τὴν τῶν νεῶν κατασκευὴν ἀποβλέπων παροξύνειε τὴν ταχυεργίαν, τὸν ὀφθαλμὸν σκόλοπι ἐτρώθη· τὸν μὲν οὖν σκόλοπα τὴν ταχίστην ἐξελόντες ἀνεκόμισαν Βαρτώφαν εἰς τὸ βασίλειον. Τὸ δ' αὐτῷ πάθος τὸ ἐν τῷ ὀφθαλμῷ, καίπερ θεραπευόμενον, ἐπετείνετο εἰς τοσοῦτον, ὥστε γένεσθαι καίριον. Ἀπέθανε δ' ὁ Βαρτώφας τῇ ὑστεραίᾳ, ἓξ ἔτη γενόμενος μέγας βασιλεύς.

V. Ἀποτελευτήσαντος δὲ τούτου, Ἰώραμον τὸν Βαρτώφα εἵλοντο βασιλέα, ὃν Ἱέρβαν ὀνομάζουσιν οἱ Τύριοι, ἔτη πεντήκοντα ἑπτὰ ἄρχοντα. Οὗτος οὖν τριήρεις παρασκευάσας μιᾶς δεούσης ὀγδοήκοντα πολλὴν ἀπέστειλε στρατιὰν εἰς Κίττιον, ὅπου καὶ οἱ Ὀχριτοβίμαλοι μεγάλην δύναμιν ἤθροισαν. Πρὸς δὲ τοὺς Τυρίους, πολὺν χρόνον πολιορκήσαντας τὴν πόλιν καὶ ἀθύμως ἤδη ἔχοντας πρὸς τὴν ἅλωσιν, ἀπηυτομόλησαν Αἰθίοπες ἐκεῖνοι, πικρὰ πάθη ὑπὸ τῶν Ὀχριτοβιμάλων παθόντες, καὶ πάνδημον εἶναι ἔφασαν εὐθυμίαν ἐν τῇ πόλει τε καὶ μέθην πολλὴν, διὰ τὸ λύσειν τὴν πολιορκίαν τοὺς Τυρίους. Εἰ μὲν οὖν ἀνέλοιντο τὰς σκηνὰς οἱ Τύριοι, ὡς ἀπιόντες, νυκτὸς

improviso Arben oppidum, tum temporis munitum, opprimere conati, a Berytiis victi sunt. Bartophas autem colonias expugnare statuit; sed cum hostes navium multitudine præstarent, omnes jussit regulos, quam plurimam possent materiam navalem parare atque adferre Tyrum in armamentarium, quod ipse amplificaverat. Cum vero portum aliquando intraret, ut ædificationem inspiceret navium atque hoc modo virorum inflammaret industriam, oculus ei vulneratus est assula quadam, quam quidem celerrime extraxerunt, regemque in arcem portarunt. Oculi autem vulnus hoc, quanquam magna tractatum diligentia, eo ingravescebat, ut letale exsisteret, Bartophasque obiret postridie, postquam per sex annos summum penes eum fuerat imperium.

V. Quo mortuo regem crearunt Joramum Bartophæ filium, quem Tyrii Hierbam appellant; regnabat hic quinquaginta septem annos. Hic septuaginta novem armavit longas naves, magnumque misit exercitum Cittium, ubi Ochritobimali multas copias collegerant. Tyrii vero diu urbem obsidebant et jam de expugnatione desperare cœperunt; Aethiopes autem, quos supra memoravimus, transfugæ venerunt ex urbe, ubi crudelissime vexati erant ab Ochritobimalis, dixeruntque, oppidanos maximo affectos esse gaudio, vinoque repletos, propterea quod Tyrios de expugnatione urbis desperare animadvertissent. Tyrios igitur, detensis

δὲ τὸ τεῖχος ἐπαναβαῖεν, ῥᾳδίως ἂν λάβοιεν τὴν πόλιν. Οἱ μὲν δὴ Τύριοι ταῦτα λέγουσι πεισθέντες τε καὶ τὰ ἀγκύρια ἀνασπάσαντες, ἀπέπλευσαν, σπεύδειν προςποιησάμενοι ὅ τι τάχιστα πορεύεσθαι εἰς τὴν Φοινίκην· ἐπανελθόντες δὲ ἀμφὶ βουλυτὸν, τὴν πόλιν ἐξεπολιόρκησάν τε καὶ ἀπέκτειναν τοὺς μὲν Ὀχριτοβιμάλους πάντας, ἐνίους δὲ καὶ τῶν Κιτιέων. Οἱ δὲ ἐν ταῖς ἀποικίαις, ταύτην μαθόντες τὴν νίκην, Ἰώραμον ἀπέστειλαν προςκύσοντας εἰς Τύρον. Ἥδετο δὲ καὶ τοὺς Αἰθίοπας ἐκείνους παρεῖναι ἀκούων ὁ βασιλεύς· μνημονεύων δὲ πολλὰ μὲν ἀγαθὰ πεποιηκότων αὐτῶν τῷ μὲν ἤδη πατρὶ, χρησίμους δὲ καὶ αὐτῷ ἑαυτοὺς κατασχόντων, παρ' ὅλον τὸν βίον τοὺς ἄνδρας εὐεργετήσας διεγένετο.

VI. Κατὰ τοῦτον τὸν καιρὸν Ὀβδάλιου, τοῦ ἐν τῇ τῆς Μυλίτης νήσῳ βασιλέως, πᾶσαν τὴν δύναμιν εἰς Κίττιον ἀπεσταλκότος, ὡς βοηθήσοντος τοῖς Τυρίοις, οἱ ἐν Τέγγῃ βάρβαροι, τὴν νῆσον ὁρῶντες πλοίων τε καὶ ἀνθρώπων ἔρημον, παρεγένοντο, Πλουσακῶνος ἡγεμονεύσαντος, τοῦ ἀνδρὸς τῆς Ὀβδαλίου θυγατρός. Ὀβδάλιον δὲ ἀποκτείναντες καὶ ἄλλους πολλοὺς τὴν μὲν χώραν διήρπασαν, τὴν δὲ πόλιν κατέκαυσαν.

VII. Ἰώραμος δὲ πάντας ἐν ταῖς πόλεσι καὶ νήσοις ἐπάρχους εἰς Τύρον ἀποπέμψαι ἐκέλευσε ποιησάντας μὲν συγγραφὰς τῶν ἐνοικούντων καὶ τῶν πλοίων καὶ τῶν ὅπλων καὶ τῶν ἵππων καὶ ἁρμάτων τῶν δρεπανηφόρων καὶ τῶν χρημάτων· ἀποστεῖλαι δὲ καὶ ἐπέταξεν αὐτοῖς ἔξωθεν ἀπογράψοντας καὶ πάντα

tabernaculis, quasi abituros, facile urbem capturos esse affirmarunt, si noctu conscenderent muros. Quod secuti consilium, extractis ancoris Tyrii solverunt, se quam celerrime in Phœnicen esse profecturos simulantes. Cum vero ad vesperam dies vergeret reversi, urbe expugnata, Ochritobimalos omnes trucidarunt, sicut et Cittienses nonnullos. Quæ victoria cum in colonias divulgaretur, omnes Tyrum miserunt legatos, qui in verba Jorami jurarent. Gaudebatur etiam rex, ut illos Aethiopes adesse audivit; quantum patri jam profuerint, cum meminisset, et quantam ipsi utilitatem attulerint, per omnem vitam beneficiis eos cumulabat.

VI. Hoc tempore Obdalius Mylites insulæ rex copias suas omnes Cittium miserat, ut Tyriis auxilio essent. Quod cum animadvertissent barbari, qui Tengam incolunt, insulamque viderent navibus et hominibus nudatam, Plusiacone duce, qui Obdalii filiam in matrimonium duxerat, advenere atque Obdalio multisque aliis trucidatis, regionem hanc diripuerunt, urbemque incenderunt.

VII. Jam vero Joramus omnes urbium atque insularum reges commentarios conscribere jussit de multitudine incolarum, navium, armorum, equorum, curruum falcatorum ac divitiarum, et in finitimas regiones viros mittere, qui eas describerent; atque de his rebus librum ut conscriberent, iis imperavit.

συγγράψαι εἰς βιβλίον. Ταύτῃ οὖν σύνοψιν ἐποίησε γεωγραφικὴν πάντων τῶν πρὸς ἑσπέραν τε καὶ πρὸς τὴν ἕω τετραμμένων, τῶν τε νήσων καὶ τῆς μεσογαίας. Οἱ δ' Αἰθίοπες τῷ βασιλεῖ εἰσήγγειλαν, ὅτι καὶ πρὸς μεσημβρίαν πολλά ἐστι καὶ εὐδαίμονα χωρία· τοὺς δ' ἐνοικοῦντας ἔφασαν εἶναι τὸ πλῆθος ἀμηχάνους, τὰ δ' ἐν τῇ χώρᾳ φυόμενα πολλὰ κἀξιόλογα, χρυσὸν μὲν καὶ ἄργυρον καὶ μαργαρίτας καὶ λίθους καὶ ἔβενον καὶ πέπερι καὶ ἐλέφαντας καὶ πιθήκους καὶ ψιττακοὺς καὶ ταῶνας καὶ ἄλλα πολλά· εἶναι δὲ χεῤῥόνησόν τινα πρὸς ἕω ὑστάτην, ὥστε δὴ τοὺς ἐνοικοῦντας ἰδεῖν ἀνατέλλοντα τὸν ἥλιον ἐκ τῆς θαλάττης.

VIII. Ἰώραμος οὖν Ναταμβάλῳ τῷ τῶν Βαβυλωνίων βασιλεῖ ἀπέστειλεν ὧδέ πως λέξοντας. Πολλὰ ἀκούω καὶ πολυάνθρωπα εἶναι τὰ τῶν Αἰθιόπων χωρία, ἐκ Βαβυλῶνος μὲν εὐπρόσοδα, δυσέμβατα δ' ἐκ Τύρου. Ἐὰν μὲν οὖν, ἐθέλοιμι γὰρ ἂν πεῖραν λαμβάνειν τῶν τόπων ἐκείνων, τοῖς ἐμοῦ οἰκέταις πλοῖα ἐπιτρέψῃς ἱκανὰ, ἑκατὸν λήψεις φοινικίδας. Ὁ μὲν οὖν Νατάμβαλος ἐβούλετο ἐπιτρέψαι· ἀλλ' οἱ διὰ τὸ ἐμπορεύσασθαι ἐθιζόμενοι εἰς Βαβυλῶνα παραγένεσθαι Αἰθίοπες λέγουσιν, ὅτι ἐκ τῆς πόλεως ἀπίασιν αὐτοὶ πάντες, ἐὰν Ἰωράμῳ πλεῦσαι ἐπὶ τῶν Αἰθιόπων συγχωρήσῃ.

IX. Μετὰ ταῦτα Ἰώραμος Εἰρηνίῳ τῷ Ἰουδαίῳ, εἰ λιμένα τοῖς Τυρίοις παραχωρήσει παρὰ θαλάττῃ τῇ Αἰθιοπικῇ κείμενον, βασίλειον κτίσοντι συμπράξειν ὡμολόγησε, κεδρίαν τε παρέξων καὶ ἐλάτινον καὶ

Hoc modo auctor fuit descriptionis omnium et Occidentem versus sitarum regionum et earum, quæ in Orientem spectant, et insularum et regionum mediterranearum. Aethiopes vero regi indicarunt, etiam in Meridiem spectare magnas clarasque regiones; incolarum autem multitudinem esse immanem; multasque res pretiosas gignere hunc tractum, aurum et argentum et uniones gemmasque atque ebenum et piper elephantosque ac simias et psittacos ac pavones aliaque multa. Peninsulam vero quandam in Orientem vergere ultimam, cujus incolæ solem e mari emergentem possent conspicere.

VIII. Joramus igitur Natambalo, Babyloniorum regi legatos misit, qui hoc modo loquerentur. Audio magnas esse celeberrimasque Aethiopum regiones, Babylone profecto faciles aditu, inaccessas vero Tyriis, quas cognoscere velim. Si igitur servis meis naves dederis idoneas, centum tibi mittam purpuras. Quæ verba cum Natambalo nunciata essent, naves dare voluit Tyriis. Sed Aethiopes, qui ad Babylonios commeare solent mercatores, se omnes dixerunt urbem esse relicturos, si Joramo ad navigandum in Aethiopiam facultatem daret.

IX. Post hæc Joramus Irenio Judæo, si ipsi portum dare vellet ad mare Aethiopicum situm, promisit, se eum in arce regia condenda juturum esse atque allaturum materiam cedrinam et abiegnam

λίθους τετραπέδους. Εἰρήνιος τοίνυν Εἰλώθαν ἐπέτρεψε πόλιν καὶ λιμένα τῷ Ἰωράμῳ. Ἐνταῦθα οὖν φοινίκων μὲν πολλῶν γενομένων, ἀλλ' οὐχ ἱκανῶν τῇ τῶν νεῶν παρασκευῇ, Ἰώραμος τὰ ναυπηγήσιμα φέροντας εἰς Εἰλώθαν ἀπέστειλε καμήλους ὡς ὀκτακισχιλίους καὶ τοὺς ναυπηγοὺς δέκα ποιῆσαι πλοῖα ἐκέλευσε. Ναυάρχους δὲ απέδειξε Κέδαρον καὶ Ἰαμῖνον καὶ Κώτιλον. Οἱ μὲν οὖν ἄλλοι ἤδη ἐτεθνήκεσαν Αἰθίοπες. Ὁ δὲ Λαγκάπατος, τῆς πατρίδος πόθῳ φερόμενος, ἐπειδὴ τάχιστα ᾔσθετο τὸν ἀπόπλουν, συνεπορεύθη. Διέπλευσαν μὲν οὖν τὴν παρὰ Εἰλώθῃ θάλατταν· τοῦ δὲ μὴ τὸν πορθμὸν διαβῆναι, δεινοὶ ἐκώλυσαν χειμῶνες. Ὑπὸ τῆς ἀπλοίας οὖν νήσῳ τινι ἐνδιατρίβοντες πέντε μῆνας καὶ πυρὸν φυτεύσαντες ἐν γῇ ταπεινοτέρᾳ, εὐετηρίαν εἶχον. Μετὰ ταῦτα διαπορθμευσάμενοι πρὸς ἡλίου ἀνατολὴν περιέπλευσαν, καὶ τῶν Ἀράβων καταλιπόντες χώραν, μετὰ πολλὰς ἡμέρας πλοίοις ἐνέτυχον Βαβυλωνίων ἐξ Αἰθιοπίας ἐπανελθόντων. Τῇ δὲ ὑστεραίᾳ εἰς τὴν τῶν Αἰθιόπων χώραν ἀφικνοῦνται, παρὰ μὲν τῇ θαλάττῃ ἄνυδρον καὶ ψαμμώδη τὴν δὲ μεσογαίαν κατεῖδον ὀρεινήν. Δέκα μὲν οὖν ἡμέρας τὴν χώραν παραπλέοντες πρὸς ἀνατολὰς διήλασαν. Ἐνταῦθα δ' ἡ χώρα πρὸς μεσημβρίαν διατείνει ἀπειρομεγέθης· κατοικοῦσι δὲ πόλεις εὐδαίμονας καὶ πολυανθρώπους οἱ Αἰθίοπες καὶ πλέουσι τὴν θάλατταν· τὰ δὲ πλοῖα εἰς πόλεμον οὐκ ἔστι παρεσκευασμένα, ἱστίοις δ' οὐ χρῶνται. Ἡμέρας μὲν οὖν ἓξ καὶ τριάκοντα ἐλάσαντες πρὸς μεσημβρίαν, εἰς τὴν τοῦ Ῥαχίου νῆσον ἀφίκοντο.

ac saxa quadrata. Quibus rebus commotus Irenius Ilotham oppidum et portum dedit Joramo. Ubi cum palmarum quidem multitudo exsisteret, sed navium ad ædificationem non aptarum, Joramus camelorum circiter octo millia Ilotham misit, materia navali oneratorum, fabrosque decem naves jussit ædificare; summos classis duces creavit Cedarum, Jaminum et Cotilum. Ex Aethiopibus duo jam obierunt. Lancapatus autem, qui admodum supererat, cum primum classem navigaturam esse audivit, abiit in patriam. Quod ad Ilotham est mare pernavigarunt, sed quominus fretum superarent, terribiles prohibebant procellæ; interea in insula quadam per quinque menses degebant, triticumque inserentes terræ depressiori, uberrimam fecere messem. Postea per fretum navigarunt Orientem versus, Arabumque relicta regione, multisque diebus præterlapsis, naves animadverterunt Babyloniorum, ex Aethiopia in patriam revertentium. Postridie vero Aethopiam ipsam sunt assecuti, cujus regio maritima aquæ est egena atque arenosa, mediterranea vero montana. Per decem dies litora prænavigabant Orientem versus. Ibi vero convertitur in Meridiem terra immani amplitudine, ubi Aethiopes urbes incolunt magnas celeberrimasque; etiam maria pernavigant. Eorum tamen naves ad bellum non sunt instructæ neque utuntur velis. Sex igitur et triginta dies meridiem versus navigantes, Rhachii insulam assecuti sunt.

X. Ὁ δὲ ὅρμος ἐξ ἐναντίας ἐγένετο αἰγιαλοῦ ἰσοπέδου καὶ δένδρεσι διειλημμένου πολλοῖς καὶ ὑψηλοῖς· νυκτὸς δὲ χειμασθέντες, ἐκινδύνευον περὶ τῶν μεγίστων, μέχρις εἰς ὑπολάμποντα τὸν ἥλιον· ἀπελάσαντες οὖν κατὰ τὴν μεσημβρίαν ἀκίνδυνον ὁρῶσιν ὅρμον τε καὶ κώμας ἐν τῇ μεσογαίᾳ πολλὰς καὶ πολυανθρώπους· τῶν δὲ πλοίων ἐκβαίνοντες κύκλῳ περιελήφθησαν ὑπὸ πάντων τῶν ἐκείνας κατοικούντων τὰς κώμας. Ὁ δὲ ταύτης τῆς χώρας ἐπάρχων ξενίοις αὐτοὺς ἐξένισεν ἑπτὰ ἡμέρας μεγίστοις, ἄγγελον μὲν τῷ μεγάλῳ βασιλεῖ ἀναπέμψας περὶ τὴν τῶν Τυρίων προσόρμισιν, τί δεῖ πράττειν, πευσόμενον. Ἑβδομαίου οὖν τούτου ἐπανελθόντος, ὁ ἐπάρχων τῇ ὑστεραίᾳ συνεκάλεσεν αὐτοὺς, πρὸς βασιλέα ἀνάξων, διατριβὴν ποιησάμενον ἐν Ῥοχαπάττῃ, πόλει μεγάλῃ καὶ εὐδαίμονι ἐν μέσῃ τῇ νήσῳ. Πρῶτοι μὲν οὖν τεταγμένοι ἦσαν δορυφόροι πολλοὶ, παρὰ τοῦ βασιλέως πεμφθέντες, τοὺς ξένους θεραπεύσοντές τε καὶ ἀπελάσοντες τῷ τῶν δοράτων ψόφῳ τοὺς ἐλέφαντας πολλοὺς γενομένους καὶ δεινοὺς διὰ τὸν ἔρωτα καὶ τὸ σκυζᾶν· ἐν μέσῃ τάξει οἱ Τύριοι ἐπορεύοντο, ὁ μὲν Κέδαρος καὶ Κωτῖλος καὶ Ἰάμινος φορείῳ ἀπενεχθέντες. Τῶν δὲ κωμητῶν τινὲς τὰ δῶρα ἐκόμιζον. Ὁ δ' ἐπάρχων ὠπισθοφυλάκησεν ἐλέφαντι ἐλάσας ἅμα τῇ τοῦ σώματος φυλακῇ. Πορευόμενοι οὖν τῇ τρίτῃ ἡμέρᾳ πρὸς ποταμὸν ἀφικνοῦνται, ἔνθα τῶν διαβαινόντων κατέφαγόν τινα οἱ κροκόδειλοι, πολλοὶ γενόμενοι ἐν τοῖς παταμοῖς. Τρεῖς οὖν ἡμέρας πορευόμενοι

X. Ancoras jecere e regione litoris humilis et multis altisque consiti arboribus. Noctu vero cum turbines orirentur, ad ortum usque solis maximo in periculo erant. Inde profecti meridie tutum videbant portum et pagos in regione mediterranea multos hominibusque frequentatos; ubi cum egrederentur a multitudine hominum, qui pagos illos incolebant, cincti sunt. Illius vero regionis præfectus hospitaliter eos excepit ac splendidissima iis apparavit convivia per septem dies. Nuncium enim interea regi maximo miserat, qui illum super Tyriis consuleret; qui cum rediret septem præterlapsis diebus, præfectus Tyrios convocavit et cum iis iter instituit ad regem, qui Rochapattæ degebat, quod nomen est urbi maximæ et clarissimæ in media insula. Multi antecedebant hastati ab rege missi, qui hastarum clangore elephantos fugarent, a quibus metuebant et propter multitudinem et propter audaciam, cum esset tempus, ubi coitum adpetunt. Sequebantur Tyrii, ex quibus Cedarus et Cotilus et Jaminus lectica gestabantur; homines quidam agrestes dona portabant. Agmen claudebat, vectus elephanto, præfectus cum satellitibus. In hoc itinere cum die tertio trajicerent flumen, unum ex trajicientibus devorarunt crocodili, quorum abundantia est fluminibus. Itinere vero trium dierum confecto Rochapattam urbem conspexerunt, altissimis

Ῥοχαπάττην πόλιν κατεῖδον, ὄρεσιν ὑψηλοῖς περιειλημμένην. Παραγενομένους δ' αὐτοὺς ἀκοῇ εἰδότες (διέσπαρτο γὰρ οὗτος ὁ λόγος ἀνὰ πᾶσαν τὴν χώραν) δρόμῳ παρῆσαν πάντες οἱ τὴν πόλιν κατοικοῦντες, τοὺς Τυρίους ὀψόμενοι ἄνδρας, οἱ μὲν ἐλάσαντες ἐλέφασιν, οἱ δ' ὄνοις, οἱ δὲ φερέθροις κομισθέντες· τὸ δὲ πλῆθος ἐπέζευον. Ταξίαρχος δὲ τοὺς Τυρίους προαγαγὼν εἰς βασίλειαν μεγαλοπρεπῆ καὶ μεγάλην, τὰς πύλας κατέκλεισε, μὴ εἰςπέσοιεν οἱ πολλοί· εἶτα αὐτοὺς πρὸς Ῥάχιον βασιλέα εἰςήγαγεν, ἐπὶ στρωμάτων καθήμενον καλλίστων. Τοὺς μὲν οὖν προςφέροντας ἵππους μὲν καὶ πορφυρίδα καὶ ἕδρας κέδρινας δωρήματα, ὁ βασιλεὺς μαργαρίταις ἀντεδωρήσατο καὶ χρυσῷ καὶ διςχιλίαις ἐλεφάντων ὀδοῦσι καὶ κιννάμῳ πολλῷ τε καὶ διαφέροντι· ξενίοις δ' αὐτοὺς τριάκοντα ἡμέρας ἐξένισεν.

XI. Τῶν δὲ Τυρίων ἀπώλοντο καί τινες ἐν τῇ νήσῳ, ὁ μὲν ὑπὸ νοσήματος, οἱ δὲ κατασφαγέντες ὑπὸ τῶν θεῶν· σπυραθίαν μὲν γὰρ ἰδών τις καὶ γραμμὰς τῇ ἄμμῳ εἰςαγαγὼν, ὅπως αὐτῷ συμπαίζοι, τὸν προστάτην προκαλεῖται· ὁ μὲν οὖν τὴν σπυραθίαν εἶχεν· ὁ δὲ κόπρον οὐκ ἰδὼν καμήλων (οὐ γάρ εἰσιν ἐν τῇ νήσῳ) βόλβιτον ἔλαβε πολὺ γενόμενον ἐν τούτῳ τῷ τόπῳ καὶ διατεμὼν ταῖς γραμμαῖς ἐνέβαλε τοὺς τόμους. Ἱερεὺς οὖν τυχὼν παραγενόμενος, μὴ τοῦτο ποιῆσαι, αὐτοῖς ἀπηγόρευσε διὰ τὸ βόλβιτον εἶναι ἅγιον παρ' αὐτοῖς· οἱ δ' ἐγέλασαν. Ἀπῆλθε μὲν οὖν ὁ ἱερεὺς, ἐκεῖνοι δὲ παίζοντες διετέλεσαν· ὀλίγου δέ τινος

cinctam montibus. Quos cum adesse audirent (exierat enim hæc fama per totam regionem), omnes urbis incolæ celerrime aderant vecti aut elephantis aut asinis aut lecticis, ut viros Tyrios viderent. Etiam peditum magna erat multitudo. Centurio autem eos in arcem regiam est comitatus maximam et splendidissimam, portasque clausit, ne ingrederetur multitudo, tum vero eos introduxit ad Rachium regem, in stratis sedentem splendidissimis. Donarunt eum equis, vestibusque purpureis ac sellis cedrinis. Mutua vero dona iis dedit rex uniones et aurum et duo millia prominentium elephantorum dentium atque abundantiam præclari cinnami. Hospites vero eos excepit triginta dies.

XI. Tyriorum etiam nonnulli in insula mortui sunt, alter morbo confectus, alteri interfecti a diis. Homo enim stercus invenit caprinum, signisque in arena delineatis, ad ludum invitavit antistitem quendam. Illi igitur caprinum erat stercus; alter vero cum stercus non inveniret camelorum (non enim inveniuntur in insula) stercore usus est vaccino, quo regio illa abundabat, dissecatumque signis imposuit. Sacerdos vero, qui forte aderat, ludum iis dissuasit, quia stercus vaccinum apud eos sacrum habetur, illisque ridentibus, abiit. Ludere homines perrexerunt, sed mox collapsi,

χρόνου παρεληλυθότος, καταπεσόντες ἀμφότεροι τὸν βίον κατεστρέψαντο. Πάντες δὲ παρόντες τοὺς θεοὺς ἐφοβοῦντο. Ὁ δὲ ἕτερος τῶν ἀποθανόντων Ἱεροσολυμαῖος ἦν τὴν πατρίδα.

XII. Μεγίστην μὲν οὖν τὴν τοῦ Ῥαχίου νῆσον πανταχῇ περιέχει ἡ θάλαττα, πλὴν ἀλλὰ πρὸς ἄρκτον τε καὶ δυςμάς ἐστι διαπορεύεσθαι ἰσθμὸν εἰς χωρίον τὸ ἀντικείμενον. Τὴν δὲ χώραν πεποίηκε Βάαυτ (ἧς καὶ ἴχνος ἐστὶν ἐν τοῖς ὅροις), πηλὸν συνάγουσα. Ἐξ αὐτῆς δὲ καὶ τὸ γένος ἔχει ὁ μέγας βασιλεύς. Τὸ μὲν οὖν εὖρος ἔχει ἡ νῆσος ἓξ ἡμερῶν ὁδὸν, τὸ δὲ μῆκος δώδεκα. Γίνεται δὲ πολυάνθρωπος καὶ εὐδαίμων. Κάλλιστα δὲ τὰ ἐν αὐτῇ φυόμενα· ὁ μὲν γὰρ πόντος ἰχθῦς παρέχει εὐχύλους τε καὶ ἀφθονεστάτους τοῖς ἐπιθαλασσίοις. Ἐν δὲ τοῖς ὄρεσι πολλὰ γίνεται θηρία, τῶν δ' ἐλεφάντων οἱ πάντων μέγιστοι, κασία δὲ ἡ ἀρωματικωτάτη. Χρυσὸν δὲ καὶ λίθους εὑρίσκουσιν ἐν τοῖς ποταμοῖς, ἐν δὲ τῷ αἰγιαλῷ μαργαρίτας. Τῆς δὲ νήσου βασιλεῖς ἐπικρατοῦσι τέτταρες, οἳ γίνονται πάντες ὑπὸ τῷ μεγάλῳ βασιλεῖ καὶ δασμοφοροῦσι κασίαν καὶ ἐλέφαντας καὶ μαργαρίτας καὶ λίθους· χρυσὸν μὲν γὰρ ἔχει αὐτὸς ὁ βασιλεὺς ἀφθονέστατον. Ὁ μὲν οὖν πρῶτος τῆς πρὸς μεσημβρίαν βασιλεύει, ἔνθα διάγουσιν ἀγεληδὸν οἱ ἐλέφαντες καὶ συλλαμβάνονται πλεῖστοι καὶ διαφέροντες· ἐν τούτῳ τῷ χωρίῳ ὁ αἰγιαλὸς ἄξενός ἐστι καὶ ἀνθρώπων ἔρημος· ἐν ᾗ δὲ πόλει ὁ ἔπαρχος τὴν διατριβὴν ποιεῖται, λέγεται μεγάλη καὶ εὐδαίμων τῇ μεσογαίᾳ ἐγκεῖσθαι. Ὁ δὲ

diem supremum obiere, omnesque astantes deos verebantur. Mortuorum alter Hierosolymæus erat natione.

XII. Clarissima hæc Rhachii insula ab omnibus partibus mari est cincta, nisi quod e regione cauro subjecta per isthmum licet proficisci in eos, qui ex adverso sunt, tractus. Hanc terram fecit limum coacervando Baaut, cujus etiam in montibus inveniuntur vestigia, atque ex qua magnus rex originem ducit. In latitudinem patet insula sex dierum iter, in longitudinem duodecim, ac fertilissima est multisque incolis prædita. Quæ autem gignit insula, sunt præclara; mare enim accolentibus abundantiam præbet piscium saporis suavissimi; montes vero multas alunt feras, maximosque inter elephantos, casiamque gignunt valde aromaticam. Aurum et gemmas inveniunt in fluviis, in litore vero uniones. Quattuor regnant in insula præfecti, qui regi maximo subditi sunt, tributumque pendunt casiam et elephantos et uniones ac gemmas. Auri enim regi ipsi est abundantia. Primus igitur regnat in ea parte, quæ ad Meridiem spectat, ubi greges elephantorum sunt, qui ibi capiuntur multi et eximiæ magnitudinis. Hujus tractus litora sunt inhospitalia, hominibusque deserta. Ea autem urbs, ubi præfectus degit, maxima et clarissima esse dicitur et in regione mediterranea sita. Secundus

δεύτερος βασιλεύει τῶν πρὸς ἑσπέραν τετραμμένων τῶν κινναμωμοφόρων· αὐτόθι τῶν Τυρίων ὥρμουν αἱ τριήρεις. Ὁ δὲ τρίτος τὰ πρὸς ἄρκτον ἔχει τείνοντα, τὰ μαργαρίτας φέροντα· οὗτος καὶ μεγάλα πεποίηκεν ἐν τῷ ἰσθμῷ τείχη, μὴ διαβῶσιν οἱ βάρβαροι ἐκ τῆς χώρας τῆς ἀντικειμένης· πάλαι γὰρ εἰςβαλόντες, αἷς ἐντύχοιεν οἰκίαις καί ἱεροῖς καὶ ἄλσεσι καθῄρουν, τοὺς δὲ μὴ καταφυγόντας εἰς τὸ ὄρος, ἀπέκτεινον ἀνθρώπους. Ὁ δὲ τέταρτος τὰ πρὸς ἡλίου ἀνατολὴν ἔχει, ἀφειδέστατα λίθους παρέχοντα πολυτελεῖς, τὸν μὲν λυχνίτην καὶ τὴν σάπφειρον καὶ τὸν ἀδάμαντα. Οὗτοι μὲν οὖν ἀδελφοὶ ὄντες τοῦ μεγάλου ἐν Ῥοχαπάττῃ βασιλέως, τούτων ἐπάρχουσι τῶν χωρίων. Ὁ δὲ τυχὼν πρεσβύτατος γενόμενος τῶν ἀδελφῶν ἐπὶ ἐκείνοις ἐστὶ καὶ καλεῖται βασιλεὺς μέγας καὶ μεγαλοκρατής. Τούτῳ οὖν χίλιοί εἰσι μελανόχρωτες ἐλέφαντες, λαμπροὶ δὲ τὴν χροίαν πέντε· οἱ μὲν γὰρ μελανόχρωτες γίνονται ἐπὶ τὸ πολύ· σπανίζουσι δὲ οἱ λαμπροὶ, καὶ ἄλλοθι οὐδαμοῦ εὑρίσκονται, πλὴν ἀλλ' ἢ ἐν ταύτῃ τῇ νήσῳ· τούτους δὲ οἱ μελανοῦντες προςκυνοῦσιν· ἀγρεύσαντες δὲ τὸ τοιοῦτον θηρίον, ἀνάγουσι πρὸς τὸν ἐν Ῥοχαπάττῃ βασιλέα, ᾧ λαμπρὸν ἀναβῆναι ἐλέφαντα παρὰ τοὺς ὑπηκόους ἴδιον νενόμισται. Γίνονται δὲ καὶ κροκόδειλοι ἐν τοῖς παταμοῖς πολλοὶ καὶ δεινοὶ, ἀλλ' ὑπὸ τοῦ ὄχλου πολλῇ κραυγῇ λίμνην ἐμβαίνοντός τε καὶ πασσάλους ἔχοντος ὀξυστόμους ἀποκτείνονται. Δέκα δ' ἡμέρας εἰς Ῥοχαπάττην παραγενόμενοι πολλοὶ καὶ Τύριοι κροκοδείλους ᾤχοντο συνθηράσοντες τῷ Ῥαχίῳ.

rex regioni imperat Occidentem versus sitæ, quæ cinnamomum gignit; ibi navibus egressi sunt Tyrii. Tertii regis in ditione est, quæ ad Septentrionem spectat regio, unionibus abundans. Hic et altissimum exstruxit in faucibus murum, ne barbari, regionem, quæ ex adverso conspicitur, incolentes, transeant. Nam olim incurrentes, quæ invenerunt domicilia, sacra et lucos, devastarunt, incolasque, qui in montes non confugerant, trucidarunt. Quartus possidet partem Orientem versus spectantem, gemmasque gignentem, lychniten, sapphirum et adamantem. Omnes hi, magni Rochapattæ regis fratres, his regionibus imperant. Sed penes maximum quemque natu summum est imperium, isque magnus rex potentissimusque nominatur. Hic vero mille possidet nigros elephantos, et quinque candidos. Nigrorum enim abundantiam alunt sylvæ; subalbi vero sunt rarissimi, neque, nisi hac in insula, usquam inveniuntur, atque a nigris dicuntur coli; ejusmodi vero animal cum ceperint, ad regem Rochapattæ ducunt, cui soli leges albo vehi elephanto permittunt; subditis id est interdictum. Sunt etiam crocodili in fluminibus permulti ac mira feritate; sed interficiuntur ab hominum multitudine, qui sese in fluvium projiciunt, palisque utuntur acutis. Postquam decem dies Rochapattæ fuerant, multi etiam Tyrii cum Rachio in venationem crocodilorum profecti sunt.

XIII. Τῶν δὲ πλοίων κατακομισθέντων, στήλην ἀναστῆσαι ἐκέλευσεν Ἰώραμος ἐν τῷ τοῦ Μελικάρθου προτεμενίσματί τε καὶ πάντα τὰ γενόμενα ἐγγράψαι. Ἡ μὲν οὖν στήλη ἐν τῷ πέρυσι σεισμῷ τῆς γῆς καταπέπτωκεν, ἀλλ' ἄθρυπτος ἐγένετο, ὥστε τὸ ὑπόμνημα οἷόν τε εἶναι καὶ νῦν ἀναγνῶναι.

XIV. Τούτῳ τῷ χρόνῳ διὰ φόνον ἐγένετο βεβήλωσις τοῦ τεμένους τοῦ τῶν Κασίων Καβείρων. Ἀνὴρ γὰρ πρὸς Γαβούλαν κατοικῶν, ἣν εἶχεν ἐξ Ὀβίβα τοῦ Τώφα δεδομένην, παρθένου ἠράσθη, τοῦ τῆς παιδὸς μὴ συνειδότος πατρὸς, διόπηρ ἐν οἰκίᾳ ἐκείνῃ οὐκ ἠδυνήθη παραγενέσθαι. Συνόδους οὖν εἶχον ἐν τῷ τεμένει παρὰ τῇ λίμνῃ τοῦ Πόντου, οἰνοποτήσαντές τε καὶ πρὸς ἀλλήλους παίζοντες. Καταληφθέντες δὲ ὑπὸ δυοῖν ἱεροδούλων, ἡ μὲν παρθένος ἀπέφυγεν· ὁ δὲ Γαβουλαῖος τὸν μὲν, αὐτῇ βουλόμενον ἐπιχειρῆσαι, κατέβαλεν, ὥστε ἐν τῷ σκότει μίτραν ἀποβαλὼν ὁ ἄνθρωπος τῇ διώξει ὑστέρησε· τοῦ δὲ ἑτέρου ἐξέπληξεν ὀφθαλμὸν λαγήνῳ, ἧς οἴνου ἔτι μεστῆς ἔτυχεν ἁπτόμενος.

Θ΄.

I. Οὗτός ἐστιν ὁ περίπλους, ὅν τε διηγήσασθαι ἐκέλευσεν Ἰώραμος ὁ βασιλεὺς τῶν Τυρίων Ἰώραμον τὸν τοῦ Μελικάρθου ἱερέα καὶ στήλῃ ἐγγλύψαι ἐν τῷ τοῦ Μελικάρθου προτεμενίσματι, μεταγράψαντα δὲ καὶ Συδὺκ τὸν γραφέα ἀπόγραφα τέτταρα τοῖς Σιδονίοις

XIII. Cum naves rediissent, columnam jussit erigi ante templum Melicarthi atque omnia, quæ erant facta inscribi. Columna illa quidem terræ motu est disjecta anno priore, sed est incolumis, ita ut inscriptio etiamnunc possit legi.

XIV. Eodem tempore internecione templum Casiorum Cabirorum est pollutum. Vir enim habitavit prope Gabulam, quod ab Obiba Tophæ filio acceperat. Hic virginis amore flagrabat; sed inscio patre in ædibus non potuit esse inter eos consuetudo. Cœtus igitur nocturnos fecere in vestibulo templi ad lacum Ponti, vinumque bibentes jocabantur. Sed a duobus oppressi æditui, virgo effugit; Gabulæus vero alterum, qui ea potiri est conatus, præcipitavit, ut homo, mitra privatus, in tenebris eam persequi desineret. Alteri autem oculum excussit vase quodam, quod vino plenum forte manibus tenebat.

LIBER OCTAVUS.

I. Hic est periplus, quem Joramus rex Tyriorum jussit facere Joramum Melicarthi sacerdotem atque inscribere columnæ cuidam in vestibulo templi Melicarthi; Sydycum vero scribam jussit describere quattuor libellos ac mittere Sidoniis, Bybliis,

πέμψαι καὶ τοῖς Βυβλίοις καὶ τοῖς Ἀραδίοις καὶ τοῖς Βηρυτίοις. Τὰ μὲν οὖν ἄλλα οὐκέτι εὑρίσκεται ἀπόγραφα, ἡ δὲ στήλη ἐν τοῖς τοῦ ἱεροῦ ἐρειπίοις κεῖται συντετριμμένη· ἡ δὲ παρὰ τοῖς Βυβλίοις ὑπολείπεται ἔτι καὶ νῦν συγγραφὴ ἐν τῷ τῆς Βααλτίδος ἱερῷ, διὰ γραμμάτων τάδε λέγουσα.

II. Ἱέρβας ὁ Βαρτώφα τῶν Τυρίων βασιλεὺς Ἰώραμον τὸν Μαδύνου ἱερέα, κατὰ τῶν σύκων καταρχὰς ὧδε προσεῖπε· βιβλίον, ἔφη καὶ γραφεῖον λαβὼν, πάσας ἀπογράψεις πόλεις τε καὶ νήσους καὶ ἀποικίας καὶ τῶν βαρβάρων χωρία, πᾶσαν δὲ καὶ ἁπάντων δύναμιν καὶ τριήρεις καὶ πλοῖα καὶ τῶν ἁρμάτων τὰ δρεπανηφόρα. Ἐπεὶ γὰρ ἡμῶν αἱ τριήρεις εἰς Ῥαχίου νῆσον περιπλέουσαι εἰς τὰ πρὸς ἀνατολὰς ἔσχατα παρεγένοντο, ὥστε τὰς πάντων τῶν χωρίων ἐσχατιὰς ἐπίστασθαι ἡμᾶς τε καὶ τὰ τὴν γῆν κατοικοῦντα ἔθνη, ἀνευρήκαμεν δὴ τὰ τοὺς προγεγενημένους λανθάνοντα. Οἱ γὰρ πατέρες εἰς τὰς νήσους μόνον περιπλέοντες καὶ τὰ πρὸς ἑσπέραν κεκλιμένα, ὧν ἐν ἀνατολαῖς μεμαθήκαμεν οὐκ ἐγένοντο ἔμπειροι χωρίων. Ταῦτα δὴ πάντα εἰς τῶν ἀπογόνων ἀπογράψεις μνήμην. Ἐγὼ μὲν οὖν ταῦτα λέξαντα προσκυνήσας τὸν βασιλέα, γέγραφα τάδε ἀπελθών.

III. Ὥσπερ πάντων βασιλέων κρείττων ἐστὶν ὁ τῶν Τυρίων βασιλεὺς, οὕτω καὶ ἡ Τύρος πασῶν πόλεων γίνεται ἡ μεγίστη καὶ μεγαλοπρεπεστάτη τε καὶ πασῶν εὑρέτις τεχνῶν. Ἐν τούτῳ γὰρ τῷ χωρίῳ πάντων πρῶτοι τὴν ναυτικὴν ἐξευρήκασιν οἱ ἀμφὶ

Aradiis et Berytiis. Reliqua omnia exemplaria sunt deperdita et columna in templi ruinis jacet fracta. Libellus tamen Bybliorum usque ad nostra tempora permansit incolumis in Baaltidis Deæ templo atque ad verbum talia dicit.

II. Hierbas Bartophæ filius rex Tyriorum Joramum Madyni sacerdotem, quo tempore ficorum primitiæ erant, hoc modo est allocutus: Librum sumas et stylum atque omnes describas et urbes et insulas et colonias, barbarorumque regiones, omnesque omnium copias ac naves et longas et onerarias et currus falcatos. Nostræ enim naves cum in Rhachii insulam navigantes ad ultimum pervenerint Orientem, propiusque inspexerint terrarum terminos ultimos, nationesque remotissimas, notitiam ad nos earum rerum pertulerunt, quæ patres latebant. Nam majores solum in insulas atque Occidentem versus profecti, earum regionem, quarum nobis in Oriente cognitionem paravimus, non habebant notitiam. Hæc vero omnia in posterorum describas memoriam. Quod cum dixisset, ad regis procubui pedes atque domum reversus hæc scripsi.

III. Ut omnibus regibus Tyriorum rex est potentior, ita et Tyrus omnium urbium maxima ac clarissima habetur, omniumque artium inventrix. Ea enim in regione omnium principes rei nauticæ fuerunt auctores Usoi comites, ab Hypsuranio

Οὔσωον, τὸν Ὑψουράνιον φεύγοντες. Ἐνταῦθα καὶ γεωργίαν οἱ κατοικοῦντες εὑρήκασι καὶ τὰ ἄλλα. Ἐπηύξησε δὲ τὴν πόλιν καὶ πασῶν μείζω ἐποίησεν Ὀβίβας ὁ Τώφα τοῦ Σιλυφαίου. Ταύτην δὲ ἔχει ὁ βασιλεὺς τὴν δύναμιν· ὁπλῖται μὲν αὐτῷ γίνονται ἑξακισμύριοι, τριήρεις δὲ ἑκατὸν, φορτικὰ δὲ πλοῖα ἀμήχανα τὸ πλῆθος· χίλιοι δὲ θώρακας ἐνδεδυκότες ὁλοχρύσους δορυφόροι, ὀγδοήκοντα δὲ ἅρματα. Τοῦτο δὲ τῶν Τυρίων στράτευμα. Τὸ δὲ τοῦ Μελικάρθου ἱερὸν καὶ τὴν πόλιν ἵδρυσαν οἱ ἀμφὶ Μελίκαρθον, ἐκ Ταρτησσοῦ ἐπανελθόντες. Περίκεινται δ' Ὑσώρα καὶ Μαίνη καὶ Σιλύφη καὶ Βεθοβάρκας καὶ Ῥαμάση πόλεις. Βεθοβάρκαν δὲ, τὴν καὶ Βεθατάβαν ᾤκει Βάρκας ὁ Σανοβάλου τοῦ Ἰαμύλκου νικήσαντος καὶ Ἰτηκὸν γίγαντας. Ἑαλώθησαν δὲ καὶ ἐν ταύτῃ τῇ μάχῃ οἱ παῖδες τοῦ Ἰτηκοῦ, οὓς, φθορᾶς γενομένης, ἐν Ὀρβίῳ ὡλοκαύτησεν ὄρει Σανόβαλος Ἐλιοῦν τῷ Βεελδαμῆρι.

IV. Εὐδαίμων καὶ ἡ Σιδών· γέγραπται μὲν γὰρ ἐν τοῖς βιβλίοις τῶν ᾀσμάτων. Ἆρα ἐκβέβληκέ σε εἰς ἠϊόνα ὁ πόντος μαργαρίτιδα, ἢ οὐρανόθεν κατελήλακες φωσφόρος ἀστήρ; ἐπαυγάζεται τῇ σῇ αὐγῇ ἡ μεσογαία, τῇ δὲ θαλάττῃ τῆς ἱλαρᾶς ἀποκαταφαίνεται τὸ κάλλος. Εἰσὶ δὲ τῷ βασιλεῖ τετρακισμύριοι στρατιῶται καὶ τριήρεις ἑξήκοντα καὶ χίλιοι δορυφόροι καὶ ἅρματα εἴκοσι. Περίκεινται δὲ Μώνυχος, Ἰαύφη, Μωῦρα, Δίβων, ἔνθα διατρίβουσιν οἱ τοῦ βασιλέως παῖδες, καὶ Νέβρα καὶ Σωάτη πόλεις. Ἐν τῇ παρὰ Σωάτῃ χαράδρᾳ μακρᾷ κατοικοῦσιν ὁπλοποιοὶ οἱ γεγονότες

persecuti; etiam agriculturam invenere incolæ, aliaque multa. Maximum urbs debet splendorem ac potentiam Obibæ, filio Tophæ Silyphæi. Rex autem his utitur copiis: sexaginta ei sunt militum millia gravis armaturæ, centum naves longæ, navesque onerariæ innumerabiles; mille vero satellites, thoracibus induti auro solidis, currusque octoginta. Tantum habent Tyrii exercitum. Melicarthi templum sicuti et urbem Melicarthi ex Tartesso reversi condidere comites. Circumjacent Hysora, Mæne, Silyphe, Bethobarcas et Ramase oppida. In oppido Bethobarca, cui etiam Bethatabæ est nomen, domicilium suum collocavit Barcas, filius Sanobali, qui victoriam reportavit de Jamylco et Iteco gigantibus. Capti etiam sunt hoc in prœlio Iteci filii, quos propter diræ pestilentiæ inclementiam in Orbio monte Sanobalus flammis consumtos immolavit Eliun Beeldameri.

IV. Clarissima et Sidon atque hæc de ea dicuntur in carminum libro: Utrum pontus ejecit te unionem in litus, an e cœlo descendisti stella lucifera? Splendore tuo mediterranea illustratur regio, mare autem resplendet hilaris pulchritudinem. Regi sunt quadraginta millia militum, naves longæ sexaginta, mille hastati et viginti currus. Circumjacent Monychus, Jauphe, Moyra, Dibon, ubi regis degunt liberi, et Nebra ac Soate oppida. In faucibus vero prope Soaten periculosissimis fabri habitant armorum, qui ab iis originem ducunt Gigantibus,

ἀπὸ τῶν πάλαι εὔκλειαν αὐτόθι κεκτημένων Γιγάντων διὰ τὸ βοηθῆσαι Βαρσίδῳ τῷ ἡγεμόνι τῶν Σιδονίων ἐν τῷ πρὸς τοὺς ὀρείτας πολέμῳ. Τοὺς μὲν γὰρ Σιδονίους τῆς διαβάσεως εἴργειν οἷοί τε τοῦ διαχωρεῖν οὐκ ἐκώλυσαν.

V. Πολυάνθρωπος γίνεται καὶ ἡ Βύβλος, ὁπλίτας μὲν ἔχουσα δισμυρίους, τριήρεις δὲ ὀγδοήκοντα πέντε, δορυφόρους δὲ δισχιλίους, ἅρματα δὲ εἴκοσιν. Ἐνταῦθα καὶ Κρόνου ἐστὶν ἱερὸν τοῦ τὴν πόλιν κτίσαντός τε καὶ τῆς Βααλτίδος καὶ τῶν λοιπῶν. Ἧι δὲ ἐξ Ἀσμουνίας εἰς Βύβλον καταπορεύονται τὸ Βεθελιοῦν ἐστὶ, τόπος ἱερός τε καὶ μεστὸς βωμῶν. Ἄρχουσι δὲ οἱ Βύβλιοι καὶ τῆς Ἀσμουνίας, τῆς Ἰασούδης, τῆς Νεβίτης καὶ Νέβρας τῆς τῶν Βυβλίων.

VI. Βίμαλος δὲ ὁ Σιδόνιος ἔκτισεν Ἄραδον, ὀκτακισχιλίους μὲν ὁπλίτας τρέφουσαν, τριήρεις δὲ πεντήκοντα, δορυφόρους δὲ χιλίους, τοξότας δὲ πεντακοσίους, ἅρματα δ' εἴκοσι. Πλησίον δὲ κεῖνται Ἀρβώζη, Κασαύρων, Ἰτύννα, Δελίβας καὶ Ἀσυπωτία πόλεις. Μεταξὺ δὲ Ἰτύννας καὶ Δελίβα τὰ Μισύβατα κεῖται, μαντεῖον λίθινον, ὑπ' Οὐρανοῦ θεοῦ πεποιημένον.

VII. Οἱ δὲ Βηρύτιοι μυρίους ὁπλίτας ἔχουσι, τριήρεις δὲ τριάκοντα, δορυφόρους δὲ χιλίους ἅρματα δὲ τετταράκοντα. Τὴν δὲ πόλιν ταύτην λέγουσιν οἱ Βηρύτιοι κτίσαι τὸν Ἐλιοῦν, τῆς γυναικὸς Βηροὺθ ποιήσαντα ἐπώνυμον. Πόντου δέ ἐστιν ἐνταῦθα καὶ Ἀστάρτης ἱερὰ μεγαλοπρεπέστατα. Περίκεινται Ἄρβη,

quorum olim ibi inclaruit nomen, Barsidum Sidoniorum ducem juvantium in bello contra montanos; quem cum, quominus cum exercitu transiret, facile prohibere possent, abs transitu tamen non impedierunt.

V. Maxima et Bybliorum civitas. Nam gravis armaturæ militum viginti ei sunt millia, naves longæ octoginta quinque, hastatorum duo millia, currus viginti. Ibi etiam conspicitur templum Saturni, qui condidit urbem et Baaltidis ac cæterorum. Ubi vero Asmunia proficiscuntur Byblum, sacer est locus, ararum plenus, cui nomen est Betheliun. Bybliorum in ditione sunt etiam oppida Asmunia, Jasude, Nebite et Nebra Bybliorum.

VI. Aradum Bimalus condidit Sidonius, octo gravis armaturæ militum millia alentem, navesque longas quinquaginta, et mille hastatos, atque quingentos sagittarios, currusque viginti. In vicinia sunt Arboze, Casauron, Itynna, Delibas et Asypotia oppida. Inter Itynnam et Delibam Misybata conspiciuntur, oracula ex lapidibus confecta a Cœlo Deo.

VII. Berytiis sunt decem millia gravis armaturæ militum, naves longæ triginta atque hastati mille, currusque quadraginta. Hanc urbem condidisse tradunt Berythii Eliun, nomenque ei dedisse Beruth uxoris. Ibi etiam Ponti atque Astartes templa splendidissima. Circumjacent oppida Arbe,

Ἴσβας, Συδροβὰλ καὶ Βεθασταρώθη πόλεις. Ἐν δὲ τῇ εἰς Βύβλον ὁδῷ παρὰ Συδροβὰλ πόλει τῶν Αἰγυπτίων ἐστὶ πύργος, ὃν ἐποίησαν οἱ τὴν χώραν ὑφ' ἑαυτοῖς ποιησάμενοι Αἰγύπτιοι, τοῦ Πασούργου ἡγεμονεύσαντος· τούτους δὲ Ἀδραμὼτ ἡ παρθένος νικήσασα τὸν πύργον κατέβαλεν.

VIII. Οἱ δὲ τὰ ὄρη κατοικοῦντες τρισμυρίους παρέχονται ὁπλίτας, τοξότας δὲ δισχιλίους· οὔτε πόλεις ἔχοντες, οὔτε πλοῖα, οὔτε ἅρματα πολλὰς οἰκοῦσι κώμας. Γίνεται δὲ παρ' αὐτοῖς τὰ Βαιτύλια, μαντεῖα ἐν Γαβάρᾳ καὶ Ὤρυκι καὶ Γάδρᾳ κώμαις καὶ αὐτὰ πεποιημένα ὑπ' Οὐράνου· τὰ δὲ μέγιστά ἐστιν ἐν τοῖς ἄκροις Ζητούνου ὄρους τοῦ ἐλαιοφύτου ὑπὲρ τῆς ὁδοῦ, ἔνθα εἰς Τύρον πόλιν καταβαίνουσιν ἐκ τῆς ὀρεινῆς. Ἐπὶ τοῦ ἀντικειμένου ὄρους ἔρυμά ἐστι καὶ περιτειχίσματα, φρουρίον δ' ἐν Μωμιγούρᾳ, κώμῃ ἐν τοῖς μεθορίοις κειμένῃ.

IX. Ταῦτα οὖν πάντα ὑπὸ τῷ Ἱέρβᾳ γίνεται βασιλέως, πόλεις τε καὶ κῶμαι καὶ ὄρη. Ὁπόταν οὖν οἱ Τύριοι παρασκευάζωνται ὡς πολεμήσοντες, αἱ πόλεις τὴν καθήκουσαν δύναμιν εἰς Τύρον παρέχονται, ὁπλιτῶν μὲν ὡς ἑκκαίδεκα μυριάδας καὶ ὀκτακισχιλίους, δορυφόρους δὲ ἑξακισχιλίους, τοξότας δὲ δισχιλίους καὶ πεντακοσίους, τριήρεις δὲ τριακοσίας καὶ εἴκοσι καὶ πέντε, ἅρματα δὲ ἑκατὸν καὶ ὀγδοήκοντα. Πολέμου δὲ γενομένου κατὰ θάλατταν, τοῖς Τυρίοις οἱ ἀπὸ τῶν νήσων βοηθοῦσιν, ὡς ἑπτὰ στρατιωτῶν παρεχόμενοι μυριάδας, τοξότας δὲ δισχιλίους καὶ ἑξακοσίους, πλοῖα δὲ μακρὰ τριακόσια καὶ δυοῖν δεόντων εἴκοσιν.

Isbas, Sydrobal, et Bethastarothe. Ad viam, qua ex oppido Sydrobal proficiscuntur Byblum, Aegyptiorum est arx, quam ædificarunt Aegyptii, qui Pasurgo duce hanc regionem sibi subjecerunt. Quibus victis, Adramot virago arcem destruxit.

